Farnesianum cod. ne cum Jahnio XLIX Romae quaeras, vide supra n. 78 et infra p. 456.

Taurinorum Augustae in cod. 103 bibl. Athenaei (175)
exstare dicuntur Bryenni libri I et II. (Cat. p. 193. Fabricius BG. III 635 Harl.

---

1 Binas lectiones aequales habent BH in AQ 4, 9. 5, 4. 18. 6, 22. 7, 3. 9, 21. 10, 31. 11, 11. 29. 12, 27. sed 8, 11 ubi B omittit ἁρμονικὸν-πρακτικόν H omnia bene exhibet, ut filius illius dici non possit.

Traiecti in bibliotheca academiae exstant:

(176) Trai. 34. ch. 4°. S. XVI. Ptol. transscriptus est e cod. (85. 86), Bodl. misc. 86 aut 87, qui fuerunt Savili et a Wallisio signantur A et B. collatus hic est cum cod. (80) Baroc. 41 et cod. collegii Mariae per Langbainium. fuit Seldeni. Omont, *Cat. des mscr. des Pays-Bas* (Lips. 1887) p. 21.

(177) Trai. 35. ch. 4°. S. XVII. Ptol. transscriptus ex illo 34. fuit Meibomi. Omont p. 22.

(178) Trai. 47. ch. 4°. S. XVII. Heronis pneumatica a Fed. Commandino Urbinate in lat. conversa 1575. Om. 25.

(179) Upsaliensis 47 (in bibl. academiae) ch. fol. S. XVI vel XVII. Proclus in Alcibiadem, Theonis expositio. ex hoc edidit Linder Upsaliae 1854 Pselli opuscula quattuor. 1. animae generationem *Τὸ μὲν λεγόμενον* (= Vinc. *Notices* XVI, 2. 316 et Migne patrologia Gr. XXII 522). 2. *Ἐκ μέρους ἠρώτηκας* (= Migne ib. 1103). 3. *Ἐρᾷς τῆς πλατωνικῆς* (= Mi. 1105). 4. *Τί ποτέ ἐστι λεῖμμα* (= Mi. 1109).[1]

Venetiae in bibliotheca S. Marci servantur:

(180) Ven. Marc. 248. membr. fol. S. XV. Plut. de virtute et vitio, al. et de mus. Zanetti Cat. (1740) p. 123. Amsel-St. 154.

(181) V. Marc. 307. membr. 4°. S. cc. XI. Theo exp. ar. et mus. — Z. 144. (Hiller sign. A.)

(182) V. Marc. 318. ch. fol. min. S. cc. XIV. Nicom. ar., al., Ptol. cum Porph., Bry., Nic. I, Bacch., hymni Z. 147.

(183) V. Marc. 321. ch. fol. S. cc. XIV. Bry., Ptol., Porph. in I 1—4. Z. 147.

u. Ven. Marc. 322. membr. fol. mag. S. XV. insunt AQ.,

(184) Bry., Plut., Ps.-Eucl., Eucl., Arx., Al., Gaud., Nic. I et II,

---

1 His adde: (5—7) praecepta ea quae Vincent edidit e cod. (106) Par. 2448, et (8) *Ἐπίλυσιν πῶς ἐστι διὰ πέντε ἡμιόλιον* et (9) epistulam *Ἡ ἀληθὴς μουσική*, quae una cum doctrina de accentibus Ruelle imprimenda curavit in Archives III, II 614, usus codicibus quos numeravi 15ᵇ et 19. his accedunt (10) Proballomena rhythmica, (11) epistula *Πότερον ὡς αὐλητής* quam habes apud Ruellium 612 redactam ex iisdem codicibus. cf. c. 26. 64. 190.

Ptol., Porph. in I et II. inscriptum est post indicem ipsa v. Bessarionis manu[1]: *Βιβλίον ἄριστον καὶ δυσεύρετον, κτῆμα* (184) *Βησσαρίωνος καρδηναλέως Νικαίας, ἐπισκόπου Σαβίνων.* qui vir egregius cum a. 1449 episcopus Sabinorum nominatus esset[2], postea autem Tusculanorum episcopus appellatus hoc potius munus etiam in librorum inscriptionibus profiteatur[1], hoc ipso anno codicem perfectum esse suspiceris. post annum 1472 quo anno Bessario mortuus est codicem non esse conscriptum clare elucet. scripsit autem Joannes Rhosus presbyter Cretensis, qui plurimos libros et in Bessarionis et in Mediceorum usum dicitur transscripsisse.[3]

Et Aristidis primum diagramma (I 7, p. 15 M) U incipit ab α et cruce illa, quam multi alterius familiae omiserunt, et omisso *B* illo, quod aperit alteram partem in Ven. VI 10, ultimarum linearum ordines bene servavit. quartam quidem et septimam lineam (quae sunt numerorum) iusto longius extendit, ut a signis suis numeri separentur. designatam vides hanc formam e codice Guelfb. apud Bellermannum *Tonleitern* tab. 5. signum 5^b hi habent ϽC (Ven. ⊓. Vat. ∩), signum 6^b σ, 24^b ϒ vel simile (Ven. λ), signa 30 sunt ϵ et ϶, ac si media hasta prolongatur, nunquam tamen fit ≻, post 34^a et ^{b} spatia non patent. de verbis diagrammati immixtis vide (11) Bonon. alterius autem diagrammatis vel harmoniarum (quas Ar. tradit in

1 Hoc manifestum fit, ubi comparavisti cod. Marc. 319 in quo inscripsit *κτῆμα ἐμοῦ Βησσαρίωνος ἐπισκόπου τῶν τούσκλων.* in Bessarionis libris hic 322 refertur apud Tomasinum; Bibl. Venet. p. 47, plut. 28.

2 [Nicolaus V] illum Nonis Mart. 1449 primo Sabinensem ac mox duobus nondum exactis mensibus episcopum Tusculanorum creavit. Migne, Patrologia Gr. 161 p. XIX.

3 Rhosum a 1447—1497 codices transscripsisse vides apud Gardthausen, *gr. Paläographie* 326. etiam saec. XVI eum scripsisse falso existimabant Fabricius Bibl. Gr. V 788 et Morelli (Aldi Manuti scripta tria p. 52). v. Heiberg in Philologo 42, 435. Wachsmuth in Museo Rhen. 18, 135. 29, 319. specimen scripturae exstat apud Omont, *Facsimilés de msc grecs du XV et XVI siècle* (1887) tab. 30.

U. I 9 p. 22 M) ordo in U turbatus est. incipit quidem ita,
(184) ut in prima linea legatur α *lνδιστί*, β *δωριστί* et sequatur signorum 24 vel 27 series longissima, sicuti vides e cod. Escor. descriptum apud Bellermannum in tabula 5. sunt autem prima signa haec: ρ⁻ γ, curvatae dein sunt lineae in doria nota 7^a (C pro Ɛ), lyd. 7^b, dor. 5^b (C pro <), item phry. 5^b, in mixol. 1^b hi omnes habent formam minusculam ξ, omittunt mix. 2^b; quod autem celerrime invenitur, ioniorum ultimum signum hi produnt Ɛ (reliqui recte <). Bellermannum igitur p. 67 qui evolvit, multa invenit concinere in U Esc. Guelf. Lips. Vind., quae abhorrent a Neap. (et Ven. VI 10). scholium autem in mg. habet U p. 6 M (*τέχνην αὐτὴν καλεῖ*) idemque habent (44) Lips., (41) Hamb., (65 et 71) Monn., cum alii habeant in ipso contextu (38. 84. 92. 114). — Canonis sectionem Rhosus petivit e Marc. VI 3. hoc ut suspicaris e titulo Zosimi subscripto, ita vides e verborum[1] et diagrammatum formis. quod enim omnia diagrammata, et quae priore manu in verborum contextu erant inscripta, et quae ab altero librario in margine M picta sunt, collecta videmus et repetita in U, hanc iis intercedere necessitudinem facile concedes. habet autem U ad prot. 1 figuram illam signatam ηδβ (M^2) et paulo post alteram quam vides in variis lectionibus 151, 1 (M^1); ad tertiam autem protasin demonstrandam U habet et diagramma ex M^2 in duas partes discerptum et vestigia illa figurae M^1 (152, 3. 7). — Nicomachum quoque Rhosus ex hoc fonte repetivit. consentiunt enim in titulo *Πυθαγορικοῦ*, *ἁρμονικῆς*, *ἐγχειρίδιον*, in *πλανήτας* 236, 7, om. *τὴν* 31, habent *παρὰ* 237, 8, *φορτίον* 12, *ἔστί μοι* 16, *συναφὴς* 244, 14, *ἐκβαλών* 246, 20, *διαγωνίου* (M^4) 22, *διιστῶσαν* 260, 1 et — quod magnum videtur — uterque exhibet illum librum, quem II numerat Meibomius. in M quidem illud *Νικομάχου* . . . *ἐγχειρίδιον* subscriptum potius videtur iis quae antecedunt;

---

1 *Λέγεσθαι* 149, 9, *διαφόνους* 18. 20, *πολλαπλάσιον* 150, 8. *πολλαπλάσιος ἢ ἐπιμόριος* 154, 4, *τὸν ἥμισυν* 155, 15.

quod cum Rhosus falso haberet pro titulo illius partis u. quae sequitur, hic puto auctor fuit erroris.[1] adde quod (184) 249, 11 M e correctura plures habet lectiones, U omnes coniungit.[2] Euclidis igitur et Nicomachi doctrinas exscriptas esse putabimus e Marc. VI 3, nec aliud statuendum videtur de Aristoxeni arte, quam cum Marciano manu 3 vel 4 emendato concinentem invenit Marquard p. XXV. iam ex eodem fonte manavisse fortasse putaveris isagogen illam, cuius dubius est auctor. at hoc in libello U et M longe inter se abhorrent, et sequitur U eam Vaticani 191 partem, quam signavi W. nam concinit *τάξιν τῶν συγκειμένων ἔχον* p. 179, concinit materiae dispositio et pluralis *συστημάτων τόνων*, 180, 19 *τιθεῖται* et quaecunque WL notavi, concinunt fere omnia quae notavi 181, et mirum illud *καθ' αὑτῶν*, concinunt quae notavi 183 et 185, 25, nec discrepant in quinta ista et sexta consonantia, quam in synemmeno systemate invenisse sibi videbatur stultus aliquis 194, 20. haec igitur Rhosum sumpsisse apparet e fonte quodam illi W propinquissimo. habueritne ipsum W sub oculis admodum dubito, nam sunt quae differant[3]; nec sufficiunt loci comparati, ut res certe diiudicetur. — Gaudenti quamquam omnes codices inter se sunt propinquissimi, propius tamen U accedit ad Vat. 192 quam ad Neapolitanum. diagrammata ab hoc absunt, et N cum habeat *τὸ* 328, 19, in VU invenis *αὖ τὸ*, 239, 8 hi habent *στάσις*, 12 *ἐστιν*, 330, 3 *λέγοιτ'*, 11 *π. συστημάτων*, 342, 9 *λεῖμμα* N, *λίμμα* VU, 345, 4 VU *αὐτοὶ*, N *οὗτοι*, 351, 1 eandem habes compendii formam pro

---

1 Bernensis quidem in eundem errorem incidit, cum titulo addit *ἐγχειρίδιον. βιβλίον* β. huius tamen archetypus ab initio vera tantum habuisse videtur *τοῦ αὐτοῦ Νικομάχου*.

2 Etiam alias Marciani veteris emendationes fere omnes U agnoscit, ut 237, 16. 244, 3 (non ita *τὴν* 236, 11).

3 Differunt *ἐστίν* 179, 6 (U *εἰσίν*), *διαφέρον* 181, 3 U vid. om., *τόνοι* 195, 20 (U *τονιαῖα*), et 196, 5 U habet *δεύτερον δὲ οὗ μέσον τὸν τόνον* (corr. *τῶν τόνων*) *τὸ ὀξύ. τρίτον οὗ πρῶτον ἐπὶ τὸ ὀξὺ τῶν τόνων*.

U. *βαρυτάτην* in VU, 16 *μεγάλου* VU, *τετάρτου* N. etiam ac-
(184) centus formae sunt eaedem in V et U, nam in particula *τέ* tonum relinquunt 328, 21, transferunt in antecedens vocabulum 24, *ὑπατῶν* scribunt 332, 11, 336, 9 (hyp. et par.) 352, 6, *ὑπάτων* 332, 14. 15, 336, 9 (lich.) et saepe alias, cum N semper fere scribat perispomenon. mirum quidem est, quod signa musica V inde a 353, 10 non habet, U continet usque ad finem. Sed Bessario homo artis huius et doctrinae peritissimus facile signa quae deerant ex alio codice, etiam ex Alypi tabulis, supplere potuit. Gaudentium igitur ex V 192 illos transscripsisse, dein quae deesse videbantur ex alio libro attulisse existimo. et p. 351, 10, ubi altera quaedam manus vocabulum *ἔχει* in V suppleverat, Rhosus id in textum recepit.

In Ptolemaei libris habet diagrammata diversa ab aliorum figuris. Ad caput 1 appingit haec:



ad caput 2 quattuor praeceptorum musicorum familias schemate quodam disponit, ad cap. 3 percussionum genera distinguit et cet. huius modi. addit etiam quae Nicephorus supplevit ad lib. III. Porphyrium exhibet ad I et II.

Eius autem codicis, quem tanti aestimabat, alios etiam homines doctos participes esse Bessario voluit. hoc ut apparet e verbis in (65) Monacensi 104 inscriptis, ita elucet e lectionibus[1] codicum 7. 11. 14. 17. 20. 40.

---

1 Est etiam ubi e litterarum forma hoc appareat. nam quod *ἐνέσται* in Nic. 249, 6 littera *ν* iusto maiore scriptum est, habent *ἐγέσται* vel similia Ambr., Mon., duo Lipss. al. Facile etiam apographa Veneti agnoscuntur in Eucl. 155, 6, ubi Rhosus *α βλ* ad lin. 7 *βλ* transsiluit, et in Nic. 249, 11, ubi hic U habet

41ª. 43. 44. 50. 51. 58. 59. 61. 65. 72. 80. 84—86. U. 92. 104. 114. 115. 170. 193. 199 (cf. 174. 198. 206) (184) qui aut omnia sua aut partem ex U hauserunt, ut huius lectio merito dicatur vulgata.[1] quo autem melius noscamus filiorum illorum ordinem et aetatem, observandum est, quid in U correctum sit. sunt autem minio emendata ad fidem Vaticani W vel propinqui alicuius:

1. in Euclide p. 152, 8 η (in ηζ) deletum,
2. 152, 9 ad *λοιπὸν μονάς* supra *γρ. καὶ ἐπεί.*
3. 152, 10 e δη deletum η.
4. 152, 11 post δζ add. mg. *γρ. καὶ* ιδ, ιζ, ιθ.
5. 155, 16 post *οἱ* add. supra α.
6. 165, 19 *μέσον* corr. in *μέσων.*

harum correctionum cum Lips. noverit unam (5), Ber. tres (2. 5. 6), Bon. quattuor (1. 3. 5. 6), Mon. (1—5), et Par. 2456 (2—6) quinque, suspiceris illum antiquo, hos recentiore tempore esse transscriptos. aliam autem rem atramento in U correctam, quod solus Mon. novit (ut ex δζ 152, 9 deleatur δ), hunc qui scriptus est a. 1552, omnium dixeris novissimum. et Gaudenti locos emendatos qui respexit, is Ambrosianum vetustiorem esse dicit quam Bononiensem. e scholio Aristidis p. 6, 12 M cum Caesare Marburgensi concludes Lipsiensem Guelferbytano certe et Oxoniensibus esse praeferendum (*Rhythmik* 38). omnibus denique rebus consideratis (44) Lipsiensem putabimus filiorum optimum et maximum[2], huic similes esse videntur

---

τὸ ἡ διὰ πέντε γίνεται σύστημα et additur mg. *συμφωνία.* et 251, 8 *ὑπερέχεσθαι*, 252, 5 *ἀποφαίνοντο*, 255, 14 *γλῶσσι δίφθογγος.* doctrinarum ordo idem est in 11. 20. 114. cf. 115.

1 Ex uno fonte fluxisse Aristidem codicum 20. 40. 44. 201 vidit Bellermann *Tonleitern* p. 61. Lipsiensi autem (44) proximos esse 40. 65. 72. 84. 92, demonstrat Caesar *Grundzüge der Rhythmik* 38.

2 Etiam 164, 11 ubi *ὁ ἄρα ὁ* habebat olim U, hic Lips. antiquam habet lectionem, reliqui locum invenerunt correctum, vidit tamen correcta Lips. in 194, 18 *γὰρ* et 196, 5 *τῶν τόνων.*

v. Ambr. (59) et Ber. (7), medium fere locum obtinet
(184) Bonon. (11), natu minimi videntur Mon. (65) scriptus anno 1552 et Par. (114).

(185) V. Marc. 332. ch. 4°. S. cc. XV. Barlaami logist. confutatio trium capitum (15. 16. 17) e l. III harm. Ptol. Z. 152.

(186) V. Marc. 333. ch. 8°. S. XV. Bessarionis epistulae. al. Pediasimus *ἐπισταsίαι* (inc. *φθόγγος μέν ἐστι* ut Vincent p. 290). Z. 152.

(187) V. Marc. 512. ch. 8°. S. cc. XIII. Maximus soph. de insolubil. obiection. al. Pselli animae generatio (Vinc. 316). Theonis expositio (pars, cf. Ricc. 41) cum Pappi isagoga, si fidem habemus Vitellio in *Studi it.* II 498. Z. 275.

(188) V. Marc. 516. ch. fol. min. S. cc. XII. Ptol. geogr. Heronis spiritalia. Z. 278.

(189) V. Marc. 521. ch. 4°. S. cc. XIV. Plutarchus plac. phil., al. (Gregori) compendia de arithm. mus. geom. astr. Z. 279.

(190) V. M. 524. ch. 4°. S. XIV. Prodromi drama murium. alia in quibus multa Pselli. inest epistula *πότερον ὡς αὐλητής* et insunt ea quae in annot. pag. LXXXII numeravi 2—4. 9. 10. de astronomia (*ἐμοὶ μὲν ἀποπεφάνθω.*) Z. 282.

(191) V. Marc. 529. ch. 4°. S. cc. XIV. Pollux onom., al., Josephus Rhacendyta de vita contemplativa (*Ἐμοὶ δὲ ἄρα*). versus iambici 140, quibus breviter indicatur, quid in sequentibus artibus doceatur (*ὁρῶν θεατὰ βίβλον ηὐτελισμένην.*) ed. Walz, Rhet. III 473. (exitus: *εἰδὼς . . . ἔτι τε τὸν κτίσαντα ταῦτα δεσπότην. μέμνησο ὦ τὰν Ἰωσὴφ Ῥακενδύτου, μετὰ πόνου πλείστου με συντεταχότος.* sequuntur compendia artis rhetoricae, logicae, physicae, excerpta ex Aristotelis de anima aliisque libris, dein compendia quattuor artium arithmeticae, musicae, geometriae, astronomiae (incipiunt *μέλλοντί μοι περὶ τῶν τεσσάρων* ut apud Xylandrum p. 1), de virtute, al. „non omnia praedicta opera praeferunt Rhacendytae nomen, colligitur tamen ex iambis supra dictis ipsum auctorem esse“ Zan. 236. contra quem vide ad (106) Par. 2448. cf. 25°. 135. 192. 202.

V. Marc. 591. ch. 4⁰. S. cc. XV. Syntagma philos. (192)
ὥσπερ οἱ ἀναγιγνώσκοντες. compendia (Rhacendytae) de
arithm. mus. geom. astr. Z. 310.

V. Marc. 593. ch. 4⁰. S. cc. XVI. Porph. in Ptol. (193)
I—II 7. cum tabula tonorum enarmonic. ut in U. Aly-
pius. Z. 311.

V. Marc. 595. ch. 8⁰. S. cc. XIV. Jo. Pediasimus (194)
φθόγγος μέν ἐστι (Vinc. 289).

Appendicem e Zanetti catalogo transscripsit Villoison
Anecd. Gr. II 247. ubi nominantur hi tres libri:

V. Marc. 639. ch. 4⁰. S. cc. XV. Pletho contra scho- (195)
larium. Psellus, animae gener.

642. ch. fol. S. cc. XVI. fol. 74. musicorum collectio. (196)

643. Euclides = VI 3. v. supra p. XVI. —

V. Marc. appendicis VI 2. ch. fol. S. XVI neglegenter (197)
scriptus. Pedias. (Vinc. 289, sed finitur ἓν τε τῇ κατὰ
μουσικὴν μιᾷ καταθέσθαι πραγματείᾳ), Bch., Dion. (Bell.),
AQ qui emanavit ex V, non ex Mon. 215. Ams.-Stud. 126.
Jan Bacch. Arg. 1, 30.

V. Marc. VI 3 v. p. XVI.

V. Marc. VI 8, olim apud Nanos n. 268. ch. fol. (198)
S. XVII. Arx., Nic. I et II, Aly.

V. Marc. VI 10 v. p. XI.

Vindobonae exstant in bibl. imperiali:

Vi. 11. ch. fol. S. XV. (olim Erici). AQ., Iambl. de (199)
secta Pyth. IV. ex lectionibus, quas affert Bell. Tonleitern
p. 67 et 69, colligo propinquum esse cod U. Nessel, Cat.
codd. (1690). IV (philos.) p. 8. Jahn AQ. LV.

Vi. 17. ch. fol. Proclus, animae gener. (olim Sam- (200)
buca). Ness. IV 15.

Vi. 64. ch. fol. antq. Aristot. phys. auscult. alia. Bry. (201)
(tit. musica Ptolemaei.) (fuit olim Esaiae Hieromachi, dein
Sambuci.) Ness. ib. 37.

Vi. 76. ch. fol. mediocriter antiquus (Fugger). Bry., (202)
Porph. in I et II. Ns. 47.

Vi. 88. ch. fol. meder. antiq. Porph. Nessel IV 51. (203)

Vi. 174. ch. 4⁰. antq. (Porph. in organum Ar.) al. (204)

(204) Psellus de quattuor math. scientiis. Ns. 96.

(205) Vi. 220. ch. 4°. antq. Aristot. anima, al., Ptol. Ns. 118.

(206) Vi. 268. ch. 4°. meder. ant. Nicom. I et II, Gaud. Ns. 173. —

Adde quod Mediolani in Ambrosiana exsistere dicitur Psellus. Montfaucon bibl. mss. I 502A., Fabr. bibl. Gr. III 96.

Adversaria Langbaini de AQ. (e misc. 85) Eucl. Porph. (cod. Magd. 13). Coxe Bodl. 878. n. 3.

Ex apparatu Meibomii exstant Lugduni Bat. praeter cod. (54) 133: excerpta ex AQ. (Lugd. 129), Alypius, Arx., Nic. I et II scripta manu Mb. (ib. 130), Bry. quem transscribendum e bibl. Ox. curavit Selden, contulit Langbaine cum cod. Magd. (ib. 131), et eiusdem libri apographum (132), Porph. cum fragm. scholiorum, Meib. transscripsisse videtur e Lugd. illo 133 (134. Geel Cat. 38—40). Lugduni (111) exstant et partes AQ. excerptae e cod. Laur. fuerunt olim Gevarti (Geel 32).

Traiecti autem servantur Notae et characteres musici iuxta diatonum genus a Meibomio conscripti. 7 tab. Omont, Cat. des ms. des Pays-Bas p. 24. num. 10 (45). — De Meibomi adversariis v. p. XXXVII, 1.

Supplenda.

ad 11. Describuntur Bononienses ab Olivieri in *Studi italiani, di fil.* III 396. ac Bon. 2048 continet parte III Heronis spiri, talia.

ad 12. S. XVI. Bonon. 2432 a duobus librariis (f. 1—10 et 11ss.) conscriptus, Alcinoi isagoge in Platonem, Theo ab *ὀλέθριος* 48, 1 — *πνεύματος* 57, 5. Pappi isagoge, Arx., Ps.-Ptolemaei musica (= exc. Neap. *ἀρχὴ τῶν μουσ. λόγων — περιέχει αὐτὸν καὶ τὸν* πα 269, 1). in § 19 habet scholion: *ὁ τόνος εἰς* ιβ *διαιρεῖται, τὸ δὲ διὰ τεσσάρων εἰς τριάκοντα.* habet 417, 12 *τρία ἐστὶ* et ib. 18 *ἐπὶ τούτοις ἐστὶν ὁ ϱ.* 420, 7 *εἰσι ἐστι.* 19 *ἀνάγεται.*

Εἰσὶν οἱ ἀριθμοὶ, ἐξ ὧν. omnia ut exstant in (76) Neap. 2, omittit autem hormasian. sequitur Barlaami praefatio artis logisticae (inc. *πολλῶν μὲν*) et fragmentum artis ut in N. — Sequitur Gemistius de Aristotelis et Platonis certamine, Alypius (ad 406, 12), quae doctrinae aliunde petitae sunt. Cleonidis tamen isagogen et huius canonem e N illo hausta vides ex inscripto nomine.

Cantabrigiae exstant in academiae bibliotheca:

Cant. 1463 (Gg II 33). chart. 4°. S. XV aut XVI. (13b) Mathematica. Hero pneum. — Fuit Gg. Vallae et Alberti Pii ut 73. — Cat. of. mscpts. vol. III (Cambr. 1858) p. 58.

Cant. 1464 (Gg II 34). ch. fol. min. S. XVI aut XV. (13c) Cleonides (sic), Eucl. tit. *π. φθόγγων* p. 148 ut in N. — Cat. 63.

Cant. 2048 (Kk V 6). ch. fol. S. XVI. AQ. adsunt (13d) J. B. Hautini excerpta e Bry. et AQ. — Cat. 676.

Cant. 2068 (Kk V 26). ch. fol. min. S. XV aut XVI. (13e) Arx., cuius lectiones non procul absunt a Selden. (82). Cat. 694.

Cant. 2070 (Kk V 28) ch. fol min. S. XV. Nicom. (13f) arith. et harm. libb. II. Cat. 697.

Laur. 58, 20. bomb. 4°. S. XV. Iosephi Rhacendytae (25b) compendium rhetorices. compendium logices auctore Gregorio (summam fere eisdem verbis scripsit Nicephorus monachus cognomine Blemides). alia. *Ἄθροισις εὐσύνοπτος τῶν μαθημάτων.* arithmetica, musica (*Μουσικὴν οἱ παλαιοί — ὡς κύβος καὶ πυραμίς*), geometr. astron. *Γρηγόριος τὰ δ' ἔγραψε.* Band. II 459.

Laur. 87, 10. ch. 4°. S. XIV. Aristot. phys. ausc., Synopsis (25c) quattuor math. scientiarum Bd. III 389. cf. ad 106. 165. 191.

Tabula codicum manuscriptorum.

Simplicibus numeris scripsi codd. S. XV, crassioribus antiquos distinxi. saeculi XVI et XVII libros aut omisi aut recentiores dixi.

Alypius **2. 3.** 44. 80. 143. 184.
Anonymus **1.** 2. 69. 73. 75. 78. 126.
Aristides **1.** 40. 44. 45. 69. 73. 75. 78. 126. **149**[a]. 184. 199.
Aristoxeni harm. **2. 3.** 43. 44. 80. 143. 184. rhythm. **2. 3.** (rec. 159.)
Bacchius **1. 2.** 69. 73. 75. 78. 126. 138. **182.**
Barlaam 77. 185. (rec. 159.)
Bryennius 4. 22. 26. 41. 44. 45. 73. 78. 119. **130.** 138. **182. 183.** 201.
Cleonides 76. (rec. 12. 13[c]. 36. 129. 150. 173.)
Dionysius **1.** 73. 75. 78. 126.
Euclides **2. 3** bis. 44. **56.** 76. 80. 171[b]. 184.
Ps.-Euclides **2. 3** bis. 44. **56.** 143. 156. 171[b]. 184.
excerpta Neap. 76. 143. partes in 77. 134. (rec. 12. 36. partes in 76.)
Gaudentius **3.** 44. 76. 80. 143. 184.
Gregorius vel Psellus 25[a. b. c]. 74[a]. **106. 123. 135. 140.** 145. **149**[a]. 152. 155. **165. 189. 191.** 192. 204. (rec. 16. 207.)
Hagiopolites **95.**
Heronis spir. **188.** (rec. 11. 13[b]. 41[c. d]. 85. 105. 157[b]. 161. 170. 178.)
hormasia **149**[a]**? 165.** (rec. 16. 65. 134. 171[a].)
Mesomedes **1.** 69. 73. 75. 78. 126. **182.** (rec. 10[a]. 50. 116.)
Nicom. I: **4.** 77. 124. **182.** I et II: **2.** 13[b]. 43. 44. 138. 184. partes in 77. 164.
Pachymeres (rec. 101—3. 136.)
Pappus, isag. 76. **151. 187.** (rec. 12. 36. 42. 118. 159. 173.) cf. indicem Rehd. p. LXXV ann. n. 180.
Pappus, comment. Ptol. 143. 147[a].
Pediasimus 133. 186. **194.** (rec. 88? 158[b]. 197.)
Ps.-Plutarchus **1.** 26. **27. 28.** 29. **30.** 69. 75. 77. 109. **146. 148**[a]**. 149**[a]**. 153.** 180. 184.

Porphyrius in I 1—4: **1.** 26. 69. 75. 143. 147[a]. **183.**
„ in I et II: **4.** 38. 46. 80. 109. 138. **182.** 184.
cf. Pappum et Theonem.
Psellus psychogonia 22. 26. 71[b]. **187.** 195. (rec. 64. 83. 96. 132. 162.) minora 26. **190.** (rec. 15[b.c]. 19. 64. 179.) v. et Gregorium.
Ptolemaeus **1. 3. 4.** 26. 69. 71[a]. 77. **108.** 109. 119. **137.** 138 s. 147[a.b]. 148[a.b–d]. 149[a] et [d]. **163. 182. 183.** 184. 205. cum schol. 39. 143. (rec. 68. 150. 161. 172.) tabula 77. **131.**
Sextus Emp. (rec. 66.)
Theo Alex. in Ptol. (rec. 21.)
Theo Smyrn. **23. 27.** 77. **108.** 144. **181.** partes in 16. 76. **135.** 143. 145. **149[a]. 165. 187.**
Alia **24.** 57. (rec. 16. 34. 35. 159. 196.)

I.

ARISTOTELIS
LOCI DE MUSICA.

A. De voce (1—8).
B. De diesi (9—14).
C. De mesa (15).
D. De consonantia (16—20).
E. De artis usu (21—26).

Ἀριστοτέλους

A. De voce.

(1.) Περὶ ψυχῆς II 8.

p. 419^{b4}. Νῦν δὲ πρῶτον περὶ ψόφου καὶ ἀκοῆς διορίσωμεν. ἔστι δὲ διττὸς ὁ ψόφος· ὁ μὲν γὰρ ἐνέργειά τις, ὁ δὲ δύναμις. τὰ μὲν γὰρ οὔ φαμεν ἔχειν ψόφον, οἷον σπόγγον, ἔρια, — τὰ δ' ἔχειν, οἷον χαλκὸν καὶ ὅσα στερεὰ καὶ λεῖα, ὅτι δύναται ψοφῆσαι, τοῦτο δ' ἐστὶν αὐτοῦ μεταξὺ καὶ τῆς ἀκοῆς ἐμποιῆσαι ψόφον ἐνεργείᾳ. γίνεται δ' ὁ κατ' ἐνέργειαν ψόφος ἀεί τινος πρός τι 2 καὶ ἔν τινι· πληγὴ γάρ ἐστιν ἡ ποιοῦσα. διὸ καὶ ἀδύνατον ἑνὸς ὄντος γενέσθαι ψόφον· ἕτερον γὰρ τὸ τύπτον καὶ τὸ τυπτόμενον, ὥστε τὸ ψοφοῦν πρός τι ψοφεῖ. πληγὴ δ' οὐ γίνεται ἄνευ φορᾶς. ὥσπερ δ' εἴπομεν, οὐ τῶν τυχόντων πληγὴ ὁ ψόφος· οὐθένα γὰρ ποιεῖ ψόφον ἔρια, ἂν πληγῇ, ἀλλὰ χαλκὸς καὶ ὅσα λεῖα καὶ κοῖλα. ὁ μὲν χαλκὸς ὅτι λεῖος, τὰ δὲ κοῖλα τῇ ἀνακλάσει πολλὰς ποιεῖ πληγὰς μετὰ τὴν πρώτην ἀδυνατοῦντος ἐξελθεῖν τοῦ κινηθέντος. ἔτι ἀκούεται ἐν ἀέρι καὶ ὕδατι, ἀλλ' ἧττον. οὐκ ἔστι δὲ ψόφου κύριος ὁ ἀὴρ οὐδὲ τὸ ὕδωρ, ἀλλὰ δεῖ 3 στερεῶν πληγὴν γενέσθαι πρὸς ἄλληλα καὶ πρὸς τὸν ἀέρα. τοῦτο δὲ γίνεται, ὅταν ὑπομένῃ πληγεὶς ὁ ἀὴρ

καὶ μὴ διαχυθῇ. διὸ ἐὰν ταχέως καὶ σφοδρῶς πληγῇ, ψοφεῖ. δεῖ γὰρ φθάσαι τὴν κίνησιν τοῦ ῥαπίζοντος τὴν θρύψιν τοῦ ἀέρος, ὥσπερ ἂν εἰ σωρὸν ἢ ὁρμαθὸν
4 ψάμμου τύπτοι τις φερόμενον ταχύ. ἠχὼ δὲ γίγνεται, ὅταν ἀπὸ τοῦ ἀέρος ἑνὸς γενομένου διὰ τὸ ἀγγεῖον τὸ 5 διορίσαν καὶ κωλῦσαν θρυφθῆναι πάλιν ὁ ἀὴρ ἀπωσθῇ ὥσπερ σφαῖρα. ἔοικε δ' ἀεὶ γίνεσθαι ἠχώ, ἀλλ' οὐ σαφής, ἐπεὶ συμβαίνει γε ἐπὶ τοῦ ψόφου καθάπερ καὶ ἐπὶ τοῦ φωτός· καὶ γὰρ τὸ φῶς ἀεὶ ἀνακλᾶται (οὐδὲ γὰρ ἂν ἐγίνετο πάντῃ φῶς, ἀλλὰ σκότος ἔξω τοῦ 10 ἡλιουμένου), ἀλλ' οὐχ οὕτως ἀνακλᾶται ὥσπερ ἀφ' ὕδατος ἢ χαλκοῦ ἢ καί τινος ἄλλου τῶν λείων, ὥστε σκιὰν ποιεῖν, ἧ τὸ φῶς ὁρίζομεν.

5 Τὸ δὲ κενὸν ὀρθῶς λέγεται κύριον τοῦ ἀκούειν. δοκεῖ γὰρ εἶναι κενὸν ὁ ἀήρ, οὗτος δ' ἐστὶν ὁ ποιῶν 15 ἀκούειν, ὅταν κινηθῇ συνεχὴς καὶ εἷς. ἀλλὰ διὰ τὸ ψαθυρὸς (p. 420) εἶναι οὐ γεγωνεῖ, ἂν μὴ λεῖον ᾖ τὸ πληγέν. τότε δὲ εἷς γίνεται ἅμα διὰ τὸ ἐπίπεδον· ἓν γὰρ τὸ τοῦ λείου ἐπίπεδον.

6 Ψοφητικὸν μὲν οὖν τὸ κινητικὸν ἑνὸς ἀέρος συν- 20 εχείᾳ μέχρις ἀκοῆς, ἀκοὴ δὲ συμφυὴς ἀέρι. διὰ δὲ τὸ ἐν ἀέρι εἶναι, κινουμένου τοῦ ἔξω τὸ εἴσω κινεῖ. διόπερ οὐ πάντῃ τὸ ζῷον ἀκούει, οὐδὲ πάντῃ διέρχεται ὁ ἀήρ· οὐ γὰρ πάντῃ ἔχει ἀέρα τὸ κινησόμενον μέρος καὶ ἔμψυχον. αὐτὸ μὲν δὴ ἄψοφον ὁ ἀὴρ διὰ τὸ εὖ- 25

---

22 τὸ εἴσω κινεῖ] ὁ εἴσω κινεῖται Torstrik. 24 ἀέρα] an ἀήρ? 25 ἔμψυχον. αὐτὸ] ἔμψοφον. αὐτὸς To.

---

14 κενὸν. Ar. de partibus anim. II 10 p. 656^{b} ^{14} ἔχει δὲ τὴν ἀκοὴν εὐλόγως ἔνια τῶν ζῴων ἐν τῷ τόπῳ τῷ περὶ τὴν κεφαλήν· τὸ γὰρ κενὸν καλούμενον ἀέρος πλῆρές ἐστι. τὸ δὲ τῆς ἀκοῆς αἰσθητήριον ἀέρος εἶναί φαμεν. cf. de gener. anim. V 2 p. 781^{a} ^{14}.

θρυπτον· ὅταν δὲ κωλυθῇ θρύπτεσθαι, ἡ τούτου κίνησις ψόφος. ὁ δ' ἐν τοῖς ὠσὶν ἐγκατῳκοδόμηται πρὸς τὸ ἀκίνητος εἶναι, ὅπως ἀκριβῶς αἰσθάνηται πάσας τὰς διαφορὰς τῆς κινήσεως. διὰ ταῦτα δὲ καὶ ἐν ὕδατι ἀκούομεν, ὅτι οὐκ εἰσέρχεται πρὸς αὐτὸν τὸν συμφυῆ ἀέρα, ἀλλ' οὐδ' εἰς τὸ οὖς διὰ τὰς ἕλικας. ὅταν δὲ τοῦτο συμβῇ, οὐκ ἀκούει· οὐδ' ἂν ἡ μῆνιγξ κάμῃ, ὥσπερ τὸ ἐπὶ τῇ κόρῃ δέρμα ὅταν κάμῃ. ἀλλὰ καὶ σημεῖον τοῦ ἀκούειν ἢ μὴ τὸ ἠχεῖν ἀεὶ τὸ οὖς ὥσπερ τὸ κέρας· ἀεὶ γὰρ οἰκείαν τινὰ κίνησιν ὁ ἀὴρ κινεῖται ὁ ἐν τοῖς ὠσίν· ἀλλ' ὁ ψόφος ἀλλότριος καὶ οὐκ ἴδιος. καὶ διὰ τοῦτό φασιν ἀκούειν τῷ κενῷ καὶ ἠχοῦντι, ὅτι ἀκούομεν τῷ ἔχοντι ὡρισμένον τὸν ἀέρα. πότερον δὲ ψοφεῖ τὸ τυπτόμενον ἢ τὸ τύπτον; ἢ καὶ 7
ἄμφω, τρόπον δ' ἕτερον· ἔστι γὰρ ὁ ψόφος κίνησις τοῦ δυναμένου κινεῖσθαι τὸν τρόπον τοῦτον ὅνπερ τὰ ἀφαλλόμενα ἀπὸ τῶν λείων, ὅταν τις κρούσῃ. οὐ δὴ πᾶν ὥσπερ εἴρηται ψοφεῖ τυπτόμενον καὶ τύπτον, οἷον ἐὰν πατάξῃ βελόνη βελόνην· ἀλλὰ δεῖ τὸ τυπτόμενον ὁμαλὸν εἶναι, ὥστε τὸν ἀέρα ἀθροῦν ἀφάλλεσθαι καὶ σείεσθαι.

Αἱ δὲ διαφοραὶ τῶν ψοφούντων ἐν τῷ κατ' 8
ἐνέργειαν ψόφῳ δηλοῦνται· ὥσπερ γὰρ ἄνευ φωτὸς οὐχ ὁρᾶται τὰ χρώματα, οὕτως οὔτ' ἄνευ ψόφου τὸ ὀξὺ καὶ τὸ βαρύ. ταῦτα δὲ λέγεται κατὰ μεταφορὰν ἀπὸ τῶν ἁπτῶν· τὸ μὲν γὰρ ὀξὺ κινεῖ τὴν αἴσθησιν ἐν ὀλίγῳ χρόνῳ ἐπὶ πολύ, τὸ δὲ βαρὺ ἐν πολλῷ ἐπ' ὀλίγον. οὐ δὴ ταχὺ τὸ ὀξύ, τὸ δὲ βαρὺ βραδύ, ἀλλὰ γίνεται τοῦ μὲν διὰ τὸ τάχος ἡ κίνησις τοιαύτη, τοῦ

---

27 *οὐ δὴ ταχὺ τὸ ὀξύ* opponitur doctrinae Platonis. Porphyrius ad Ptolemaei harm. 1, 3 p. 227. cf. Platonis Timaeum c. 29. sed cf. etiam infra locum (3) e Topicis excerptum.

δὲ διὰ βραδυτῆτα. (p. 420^b) καὶ ἔοικεν ἀνάλογον ἔχειν τῷ περὶ τὴν ἀφὴν ὀξεῖ καὶ ἀμβλεῖ· τὸ μὲν γὰρ ὀξὺ οἷον κεντεῖ, τὸ δ' ἀμβλὺ οἷον ὠθεῖ διὰ τὸ κινεῖν τὸ μὲν ἐν ὀλίγῳ, τὸ δὲ ἐν πολλῷ, ὥστε συμβαίνει τὸ μὲν
9 ταχὺ, τὸ δὲ βραδὺ εἶναι.

Περὶ μὲν οὖν ψόφου ταύτῃ διωρίσθω· ἡ δὲ φωνὴ ψόφος τίς ἐστιν ἐμψύχου· τῶν γὰρ ἀψύχων οὐθὲν φωνεῖ, ἀλλὰ καθ' ὁμοιότητα λέγεται φωνεῖν, οἷον αὐλὸς καὶ λύρα καὶ ὅσα ἄλλα τῶν ἀψύχων ἀπότασιν ἔχει καὶ μέλος καὶ διάλεκτον· ἔοικε γὰρ ὅτι καὶ ἡ φωνὴ ταῦτ' ἔχει, πολλὰ δὲ τῶν ζῴων οὐκ ἔχουσι φωνήν, οἷον τά τε ἄναιμα καὶ τῶν ἐναίμων ἰχθύες, καὶ τοῦτ' εὐλόγως, εἴπερ ἀέρος κίνησίς τίς ἐστιν ὁ
10 ψόφος. ἀλλ' οἱ λεγόμενοι φωνεῖν, οἷον ἐν τῷ Ἀχελῴῳ, ψοφοῦσι τοῖς βραγχίοις ἢ τινι ἑτέρῳ τοιούτῳ. φωνὴ δ' ἐστὶ ζῴου ψόφος καὶ οὐ τῷ τυχόντι μορίῳ. ἀλλ' ἐπεὶ πᾶν ψοφεῖ τύπτοντός τινος καί τι καὶ ἔν τινι, τοῦτο δ' ἐστὶν ἀήρ, εὐλόγως ἂν φωνοίη ταῦτα μόνα ὅσα δέχεται τὸν ἀέρα. ἤδη γὰρ τῷ ἀναπνεομένῳ καταχρῆται ἡ φύσις ἐπὶ δύο ἔργα, καθάπερ τῇ γλώττῃ ἐπί τε τὴν γεῦσιν καὶ τὴν διάλεκτον, ὧν ἡ μὲν γεῦσις ἀναγκαῖον (διὸ καὶ πλείοσιν ὑπάρχει), ἡ δ' ἑρμηνεία ἕνεκα τοῦ εὖ, — οὕτω καὶ τῷ πνεύματι πρός τε τὴν θερμό-
11 τητα τὴν ἐντὸς ὡς ἀναγκαῖον, . . . καὶ πρὸς τὴν φωνήν, ὅπως ὑπάρχῃ τὸ εὖ. ὄργανον δὲ τῇ ἀναπνοῇ ὁ φάρυγξ· οὗ δ' ἕνεκα καὶ τὸ μόριόν ἐστι τοῦτο, πλεύμων·

---

9 *ἀπότασιν* cf. infra hist. anim. V 14, 4. probabile est *ἀπότασιν* tanquam genus complecti *ἐπίτασιν* et *ἄνεσιν*. Trendelenburg ad hunc locum. 10 *διάλεκτος· ἡ τῆς φωνῆς τῇ γλώττῃ διάρθρωσις* hist. anim. IV 9, 1. Graf de Graecorum re musica (Marburg 1889) p. 14ss. Guhrauer Zur Frage der Mehrstimmigkeit (Gratul. Hertz 1888. Berlin) 187. 25 *φάρυγξ* larynx. Trend.

τούτῳ γὰρ τῷ μορίῳ πλεῖστον ἔχει τὸ θερμὸν τὰ πεξὰ τῶν ἄλλων. δεῖται δὲ τῆς ἀναπνοῆς καὶ ὁ περὶ τὴν καρδίαν τόπος πρῶτος· διὸ ἀναγκαῖον εἴσω ἀναπνεομένου εἰσιέναι τὸν ἀέρα. ὥστε ἡ πληγὴ τοῦ ἀναπνεομένου ἀέρος ὑπὸ τῆς ἐν τούτοις τοῖς μορίοις ψυχῆς πρὸς τὴν καλουμένην ἀρτηρίαν φωνή ἐστιν· οὐ γὰρ πᾶς ζῴου ψόφος φωνή, καθάπερ εἴπομεν (ἔστι γὰρ καὶ τῇ γλώττῃ ψοφεῖν καὶ ὡς οἱ βήττοντες), ἀλλὰ δεῖ ἔμψυχόν τε εἶναι τὸ τύπτον καὶ μετὰ φαντασίας τινός· σημαντικὸς γὰρ δή τις ψόφος ἐστὶν ἡ φωνὴ καὶ οὐ τοῦ ἀναπνεομένου ἀέρος ὥσπερ ἡ βήξ· (p. 421) ἀλλὰ τούτῳ τύπτει τὸν ἐν τῇ ἀρτηρίᾳ πρὸς αὐτήν. σημεῖον δὲ τὸ μὴ δύνασθαι φωνεῖν ἀναπνέοντα μηδ' ἐκπνέοντα, ἀλλὰ κατέχοντα· κινεῖ γὰρ τοῦτο ὁ κατέχων. φανερὸν δὲ καὶ διότι οἱ ἰχθύες ἄφωνοι· οὐ γὰρ ἔχουσι φάρυγγα. τοῦτο δὲ τὸ μόριον οὐκ ἔχουσιν, ὅτι οὐ δέχονται τὸν ἀέρα οὐδ' ἀναπνέουσιν.

(2.) Περὶ ζῴων γενέσεως V 7.

p. 786^{b} ^{12}. Περὶ μὲν οὖν ὀξύτητος καὶ βαρύτητος τὴν αὐτὴν αἰτίαν οἰητέον εἶναι, ἥνπερ ἐπὶ τῆς μεταβολῆς ἣν μεταβάλλει νέα ὄντα καὶ πρεσβύτερα. τὰ μὲν γὰρ ἄλλα πάντα νεώτερα ὄντα ὀξύτερον φθέγγεται, τῶν δὲ βοῶν οἱ μόσχοι βαρύτερον. τὸ δ' αὐτὸ συμβαίνει καὶ ἐπὶ τῶν ἀῤῥένων καὶ θηλειῶν· ἐν μὲν γὰρ τοῖς ἄλλοις γένεσι τὸ θῆλυ ὀξύτερον φθέγγεται τοῦ ἄῤῥενος (μάλιστα δ' ἐπίδηλον ἐπὶ τῶν ἀνθρώπων τοῦτο· μάλιστα γὰρ τούτοις ταύτην τὴν δύναμιν ἀπέδωκεν ἡ φύσις διὰ τὸ λόγῳ χρῆσθαι μόνους τῶν ζῴων, τοῦ δὲ λόγου ὕλην εἶναι τὴν φωνήν), ἐπὶ δὲ τῶν βοῶν τοὐναντίον· βαρύτερον γὰρ αἱ θήλειαι φθέγγονται τῶν

ταύρων. τίνος μὲν οὖν ἕνεκα φωνὴν ἔχει τὰ ξῷα καὶ τί ἐστι φωνὴ καὶ ὅλως ὁ ψόφος, τὰ μὲν ἐν τοῖς περὶ
2 αἰσθήσεως εἴρηται, τὰ δ' ἐν τοῖς περὶ ψυχῆς. ἐπεὶ δὲ βαρὺ μέν ἐστιν ἐν τῷ βραδεῖαν εἶναι τὴν κίνησιν, ὀξὺ δ' ἐν τῷ ταχεῖαν, τοῦ δὲ βραδέος ἢ ταχέος πότερον τὸ κινοῦν αἴτιον ἢ τὸ κινούμενον, ἔχει τινὰ ἀπορίαν. φασὶ γάρ τινες τὸ μὲν πολὺ βραδέως κινεῖσθαι, τὸ δ' ὀλίγον ταχέως, καὶ ταύτην αἰτίαν εἶναι τοῦ τὰ μὲν βαρύφωνα εἶναι, τὰ δ' ὀξύφωνα, λέγοντες μέχρι τινὸς καλῶς, ὅλως δ' οὐ καλῶς. τῷ μὲν γὰρ γένει ὀρθῶς ἔοικε λέγεσθαι τὸ βαρὺ ἐν μεγέθει τινὶ εἶναι τοῦ κινουμένου (εἰ γὰρ τοῦτο, καὶ μικρὸν καὶ βαρὺ φθέγξασθαι οὐ ῥᾴδιον, ὁμοίως δ' οὐδὲ μέγα καὶ ὀξύ), καὶ δοκεῖ γενναιοτέρας εἶναι φύσεως ἡ βαρυφωνία καὶ ἐν τοῖς μέλεσι (p. 787) τὸ βαρὺ τῶν συντόνων βέλτιον· τὸ γὰρ βέλτιον ἐν ὑπεροχῇ, ἡ δὲ βα-
3 ρύτης ὑπεροχή τις. ἀλλ' ἐπειδή ἐστιν ἕτερον τὸ βαρὺ καὶ ὀξὺ ἐν φωνῇ μεγαλοφωνίας καὶ μικροφωνίας (ἔστι γὰρ καὶ ὀξύφωνα μεγαλόφωνα καὶ μικρόφωνα βαρύφωνα ὡσαύτως, ὁμοίως δὲ καὶ κατὰ τὸν μέσον τόνον τούτων), περὶ ὧν τίνι ἄν τις ἄλλῳ διορίσειεν (λέγω δὲ μεγαλοφωνίαν καὶ μικροφωνίαν) ἢ πλήθει καὶ ὀλιγότητι τοῦ κινουμένου; εἰ οὖν κατὰ τὸν λεγόμενον ἔσται διορισμὸν τὸ ὀξὺ καὶ βαρύ, συμβήσεται τὰ αὐτὰ εἶναι βαρύφωνα καὶ μεγαλόφωνα, καὶ ὀξύφωνα καὶ

---

5 βραδέως ἢ ταχέως codd. 13 μέγα versiones, βαρύ codd.

---

12 μικρὸν καὶ βαρύ. si fortis sonus idem gravis esset, non posses tenui voce graves sonos cantare, nec forti voce sonos acutos; potes autem utraque vocis magnitudine prodere utrumque sonorum genus.

μικρόφωνα· τοῦτο δὲ ψεῦδος. αἴτιον δ' ὅτι τὸ μέγα 4
καὶ τὸ μικρὸν καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον τὰ μὲν
ἁπλῶς λέγεται, τὰ δὲ πρὸς ἄλληλα. μεγαλόφωνα μὲν
οὖν ἐστιν ἐν τῷ πολὺ ἁπλῶς εἶναι τὸ κινούμενον,
μικρόφωνα δὲ τῷ ὀλίγον, βαρύφωνα δὲ καὶ ὀξύφωνα
ἐν τῷ πρὸς ἄλληλα ταύτην ἔχειν τὴν διαφοράν. ἐὰν
μὲν γὰρ ὑπερέχῃ τὸ κινούμενον τῆς τοῦ κινοῦντος
ἰσχύος, ἀνάγκη βραδέως φέρεσθαι τὸ φερόμενον· ἂν
δ' ὑπερέχηται, ταχέως· τὸ δ' ἰσχῦον διὰ τὴν ἰσχὺν
ὁτὲ μὲν πολὺ κινοῦν βραδεῖαν ποιεῖ τὴν κίνησιν, ὁτὲ
δὲ διὰ τὸ κρατεῖν ταχεῖαν. κατὰ τὸν αὐτὸν δὲ λόγον
καὶ τῶν κινούντων τὰ ἀσθενῆ τὰ μὲν πλείω κινοῦντα
τῆς δυνάμεως βραδεῖαν ποιεῖ τὴν κίνησιν, τὰ δὲ δι'
ἀσθένειαν ὀλίγα κινοῦντα ταχεῖαν. Αἱ μὲν οὖν αἰτίαι 5
τῶν ἐναντιώσεων αὗται τοῦ μήτε πάντα τὰ νέα ὀξύφωνα
εἶναι μήτε βαρύφωνα, μήτε τὰ πρεσβύτερα, μήτε τὰ
ἄῤῥενα καὶ θήλεα, πρὸς δὲ τούτοις καὶ τοῦ τοὺς κά-
μνοντας ὀξὺ φθέγγεσθαι καὶ τοὺς εὖ τὸ σῶμα ἔχοντας,
ἔτι δὲ καὶ γέροντας γινομένους μᾶλλον ὀξυφωνοτέρους
γίνεσθαι, τῆς ἡλικίας ἐναντίας οὔσης τῇ τῶν νέων. τὰ 6
μὲν οὖν πλεῖστα νεώτερα ὄντα καὶ θήλεα δι' ἀδυνα-
μίαν ὀλίγον κινοῦντα ἀέρα ὀξύφωνά ἐστι· ταχὺ γὰρ
ὁ ὀλίγος φέρεται, τὸ δὲ ταχὺ ὀξὺ ἐν φωνῇ. οἱ δὲ
μόσχοι καὶ αἱ βόες αἱ θήλειαι, οἱ μὲν διὰ τὴν ἡλικίαν,
αἱ δὲ διὰ τὴν φύσιν τῆς θηλύτητος οὐκ ἰσχυρὸν ἔχουσι
τὸ μόριον ᾧ κινοῦσι, πολὺ δὲ κινοῦντα βαρύφθογγά
ἐστιν· (p. 787[b]) βαρὺ γὰρ τὸ βραδέως φερόμενον, ὁ
δὲ πολὺς ἀὴρ φέρεται βραδέως. πολὺν δὲ κινοῦσι
ταῦτα, τὰ δ' ἄλλ' ὀλίγον, διὰ τὸ τὸ ἀγγεῖον, δι' οὗ

7 τοῦ κινοῦντος, cf. infra § 6 μόριον ᾧ κινοῦσιν et § 11, pulmonem dicit, ut de anima II 8, 11.

πρῶτον φέρεται τὸ πνεῦμα, τούτοις μὲν διάστημα ἔχειν μέγα καὶ πολὺν ἀναγκάζεσθαι ἀέρα κινεῖν, τοῖς δ' ἄλλοις εὐταμίευτον εἶναι. προιούσης δὲ τῆς ἡλικίας ἰσχύει μᾶλλον τοῦτο τὸ μόριον τὸ κινοῦν ἐν ἑκάστοις, ὥστε μεταβάλλουσιν εἰς τοὐναντίον, καὶ τὰ μὲν ὀξύφωνα βαρυφωνότερα γίνεται αὐτὰ αὑτῶν, τὰ δὲ βαρύφωνα ὀξυφωνότερα· διόπερ οἱ ταῦροι ὀξυφωνότεροι τῶν μόσχων καὶ τῶν θηλειῶν βοῶν. ἔστι μὲν οὖν πᾶσιν ἡ ἰσχὺς ἐν τοῖς νεύροις, διὸ καὶ τὰ ἀκμάζοντα ἰσχύει μᾶλλον· ἄναρθρα γὰρ τὰ νέα μᾶλλον καὶ ἄνευρα. ἔτι δὲ τοῖς μὲν νέοις οὔπω ἐπιτέταται, τοῖς δὲ γηράσκουσιν ἤδη ἀνίεται ἡ συντονία, διὸ ἄμφω ἀσθενῆ καὶ ἀδύνατα πρὸς τὴν κίνησιν. μάλιστα δ' οἱ ταῦροι νευρώδεις καὶ ἡ καρδία· διόπερ σύντονον ἔχουσι τοῦτο τὸ μόριον ᾧ κινοῦσι τὸ πνεῦμα ὥσπερ χορδὴν τεταμένην νευρίνην. δηλοῖ δὲ τοιαύτη τὴν φύσιν οὖσα ἡ καρδία τῶν βοῶν τῷ καὶ ὀστοῦν ἐγγίνεσθαι ἐν ἐνίαις αὐτῶν· τὰ δ' ὀστᾶ ζητεῖ τὴν τοῦ νεύρου φύσιν. ἐκτεμνόμενα δὲ πάντα ἐς τὸ θῆλυ μεταβάλλει, καὶ διὰ τὸ ἀνίεσθαι τὴν ἰσχὺν τὴν νευρώδη ἐν τῇ ἀρχῇ ὁμοίαν ἀφίησι φωνὴν τοῖς θήλεσιν. ἡ δ' ἄνεσις παραπλησία γίνεται, ὥσπερ ἂν εἴ τις χορδὴν κατατείνας σύντονον ποιήσειε τῷ ἐξάψαι τι βάρος, οἷον δὴ ποιοῦσιν αἱ τοὺς ἱστοὺς ὑφαίνουσαι. καὶ γὰρ αὗται τὸν στήμονα κατατείνουσι προσάπτουσαι τὰς καλουμένας λαιάς. οὕτω γὰρ ἡ τῶν ὄρχεων φύσις προσήρτηται πρὸς τοὺς σπερματικοὺς πόρους, οὗτοι δ' ἐκ τῆς φλεβός, ἧς ἡ ἀρχὴ ἐκ τῆς καρδίας πρὸς αὐτῷ τῷ κινοῦντι τὴν φωνήν. διὸ καὶ τῶν σπερματικῶν πόρων μεταβαλλόντων πρὸς τὴν ἡλικίαν, ἐν ᾗ ἤδη δύνανται τὸ σπέρμα ἐκκρίνειν, συμμεταβάλλει καὶ τοῦτο τὸ μόριον,

τούτου δὲ μεταβάλλοντος καὶ ἡ φωνὴ μεταβάλλει, μᾶλλον μὲν ἐν τοῖς ἁρμονίοις, συμβαίνει δὲ ταὐτὸ καὶ ἐπὶ τῶν θηλειῶν, ἀλλ' ἀδηλότερον, καὶ γίνεται ὃ καλοῦσί τινες τραγίζειν, (p. 788) ὅταν ἀνώμαλος ᾖ ἡ φωνή· μετὰ δὲ ταῦτα καθίσταται εἰς τὴν τῆς ἐπιούσης ἡλικίας βαρύτητα ἢ ὀξυφωνίαν. ἀφαιρουμένων δὲ τῶν ὄρχεων ἀνίεται ἡ τάσις τῶν πόρων ὥσπερ ἀπὸ τῆς χορδῆς καὶ τοῦ στήμονος ἀφαιρουμένου τοῦ βάρους· τούτου δ' ἀνιεμένου καὶ ἡ ἀρχὴ ἡ κινοῦσα τὴν φωνὴν ἐκλύεται κατὰ τὸν αὐτὸν λόγον. διὰ μὲν οὖν ταύτην τὴν αἰτίαν τὰ ἐκτεμνόμενα μεταβάλλει εἰς τὸ θῆλυ τήν τε φωνὴν καὶ τὴν ἄλλην μορφήν, διὰ τὸ συμβαίνειν ἀνίεσθαι τὴν ἀρχήν, ἐξ ἧς ὑπάρχει τῷ σώματι ἡ συντονία· ἀλλ' οὐχ ὥσπερ τινὲς ὑπολαμβάνουσιν αὐτοὺς τοὺς ὄρχεις εἶναι σύναμμα πολλῶν ἀρχῶν. ἀλλὰ μικραὶ μεταστάσεις μεγάλων αἰτίαι γίνονται, οὐ δι' αὑτάς, ἀλλ' ὅταν συμβαίνῃ ἀρχὴν συμμεταβάλλειν· αἱ γὰρ ἀρχαὶ μεγέθει οὖσαι μικραὶ τῇ δυνάμει μεγάλαι εἰσίν· τοῦτο γάρ ἐστι τὸ ἀρχὴν εἶναι, τὸ αὐτὴν μὲν αἰτίαν εἶναι πολλῶν, ταύτης δ' ἄλλο ἄνωθεν μηθέν.

Τοῦ δὲ φύσει τὰ μὲν τοιαῦτα συνίστασθαι τῶν ζῴων ὥστε βαρύφωνα εἶναι, τὰ δ' ὀξύφωνα, συμβάλλεται καὶ ἡ θερμότης τοῦ τόπου καὶ ἡ ψυχρότης· τὸ μὲν γὰρ θερμὸν πνεῦμα διὰ παχύτητα ποιεῖ βαρυφωνίαν, τὸ δὲ ψυχρὸν διὰ λεπτότητα τοὐναντίον. δῆλον δὲ τοῦτο καὶ ἐπὶ τῶν αὐλῶν· οἱ γὰρ θερμοτέρῳ τῷ πνεύματι χρώμενοι καὶ τοιοῦτον προιέμενοι, οἷον οἱ αἰάζοντες, βαρύτερον αὐλοῦσιν. τῆς δὲ τραχυφωνίας αἴτιον καὶ τοῦ λείαν εἶναι τὴν φωνὴν καὶ πάσης τῆς τοιαύτης ἀνωμαλίας τὸ τὸ μόριον καὶ τὸ ὄργανον δι' οὗ φέρεται ἡ φωνή, ἢ τραχὺ ἢ λεῖον εἶναι ἢ ὅλως

ὁμαλὸν ἢ ἀνώμαλον. δῆλον δ' ὅταν ὑγρότης τις ὑπάρχῃ περὶ τὴν ἀρτηρίαν ἢ τραχύτης γένηται ὑπό τινος πάθους· τότε γὰρ καὶ ἡ φωνὴ γίνεται ἀνώμαλος. — τῆς δ' εὐκαμψίας, ἂν μαλακὸν ἢ σκληρὸν ᾖ τὸ ὄργανον. τὸ μὲν γὰρ μαλακὸν δύναται ταμιεύεσθαι καὶ παντοδαπὸν γίνεσθαι, τὸ δὲ σκληρὸν οὐ δύναται, καὶ τὸ μὲν μαλακὸν καὶ μικρὸν δύναται καὶ μέγα φθέγγεσθαι, διὸ καὶ ὀξὺ καὶ βαρύ· ταμιεύεται γὰρ ῥᾳδίως τοῦ πνεύματος καὶ αὐτὸ γινόμενον ῥᾳδίως μέγα καὶ μικρόν· ἡ δὲ σκληρότης ἀταμίευτον. (p. 788[b]) περὶ μὲν οὖν φωνῆς, ὅσα μὴ πρότερον ἐν τοῖς περὶ αἰσθήσεως διώρισται καὶ ἐν τοῖς περὶ ψυχῆς, τοσαῦτ' εἰρήσθω.

(3.) *Τοπικῶν* A 15. (ed. Par. I 13, 4 et 7.)

p. 106[a 25]. Φωνὴ γὰρ λευκὴ καὶ μέλαινα λέγεται, ὁμοίως δὲ καὶ χρῶμα. τοῖς μὲν οὖν ὀνόμασιν οὐδὲν διαφωνεῖ, τῷ δὲ εἴδει κατάδηλος ἐν αὐτοῖς εὐθέως ἡ διαφορά· οὐ γὰρ ὁμοίως τό τε χρῶμα λευκὸν λέγεται καὶ ἡ φωνή. δῆλον δὲ τοῦτο καὶ διὰ τῆς αἰσθήσεως· τῶν γὰρ αὐτῶν τῷ εἴδει ἡ αὐτὴ αἴσθησις, τὸ δὲ λευκὸν τὸ ἐπὶ τῆς φωνῆς καὶ τοῦ χρώματος οὐ τῇ αὐτῇ αἰσθήσει κρίνομεν, ἀλλὰ τὸ μὲν ὄψει, τὸ δὲ ἀκοῇ.

p. 106[b 4]. . . . . Τῶν μὲν ἐστί τι ἀνὰ μέσον, τῶν δὲ μηδέν . . . οἷον λευκοῦ καὶ μέλανος ἐν χρώμασι μὲν τὸ

---

14 Φωνὴ λευκή. cf. Sextus Emp. adv. mus. 40. τῆς δὲ φωνῆς ἡ μέν τις ἐστιν ὀξεῖα, ἡ δὲ βαρεῖα, μεταφορικώτερον ἀπὸ τῶν περὶ τὴν ἀφὴν αἰσθητῶν ἑκατέρου τούτων λαμβάνοντος τὴν προσηγορίαν. καθάπερ γὰρ τὸ κεντοῦν καὶ τέμνον τὴν ἀφὴν ὀξὺ προσηγόρευσεν ὁ βίος καὶ τὸ θλάσιν ἐμποιοῦν καὶ πιέζον βαρύ, τὸν αὐτὸν τρόπον καὶ τῆς φωνῆς τὴν μὲν οἱονεὶ τέμνουσαν τὴν ἀκοὴν — ὀξεῖαν, τὴν δὲ ὥσπερ θλῶσαν — βαρεῖαν. καὶ οὐ ξένον, εἰ ὥσπερ φαιάν τινα καὶ μέλαιναν καὶ λευκὴν φωνὴν ἀπὸ τῶν πρὸς τὴν ὅρασιν αἰσθητῶν κεκλήκαμεν, ὧδε καὶ ἀπὸ τῶν πρὸς τὴν ἀφὴν ἐχρησάμεθά τισι μεταφοραῖς.

φαιόν, ἐν φωνῇ δ' οὐδέν, ἢ εἰ ἄρα, τὸ σομφόν, καθάπερ τινές φασι σομφὴν φωνὴν ἀνὰ μέσον εἶναι.

(4.) p. 107^{a11}. Ὁμώνυμον ... ὡσαύτως δὲ καὶ τὸ λευκὸν ἐπὶ σώματος μὲν χρῶμα, ἐπὶ δὲ φωνῆς τὸ εὐήκοον. παραπλησίως δὲ καὶ τὸ ὀξύ. ... φωνὴ μὲν γὰρ ὀξεῖα ἡ ταχεῖα, καθάπερ φασὶν οἱ κατὰ τοὺς ἀριθμοὺς ἁρμονικοί, γωνία δὲ ὀξεῖα ἡ ἐλάσσων ὀρθῆς, μάχαιρα δὲ ἡ ὀξυγώνιος.

(5.) *Περὶ αἰσθήσεως καὶ αἰσθητῶν* 6.

p. 446^{a24}. Ὁ ψόφος ὕστερον ἀφικνεῖται τῆς πληγῆς .... τὸ κινούμενον κινεῖται ποθέν ποι, ὥστ' ἀνάγκη εἶναί τινα καὶ χρόνον, ἐν ᾧ κινεῖται ἐκ θατέρου πρὸς θάτερον ... (p. 446^{b}) καὶ εἰ ἅπαν ἅμα ἀκούει καὶ ἀκήκοε καὶ ὅλως αἰσθάνεται καὶ ἤσθηται, καὶ μή ἐστι γένεσις αὐτῶν, ἀλλ' εἰσὶν ἄνευ τοῦ γίνεσθαι, ὅμως οὐδὲν ἧττον [ὥσπερ] ὁ ψόφος ἤδη γεγενημένης τῆς πληγῆς οὔπω πρὸς τῇ ἀκοῇ. δηλοῖ δὲ τοῦτο καὶ ἡ τῶν γραμμάτων μετασχημάτισις, ὡς γινομένης τῆς φορᾶς ἐν τῷ μεταξύ· οὐ γὰρ τὸ λεχθὲν φαίνονται ἀκηκοότες διὰ τὸ μεταschηματίζεσθαι φερόμενον τὸν ἀέρα ... ἢ περὶ μὲν τὸν ψόφον καὶ τὴν ὀσμὴν τοῦτο συμβαίνειν εὔλογον; ὥσπερ γὰρ ὁ ἀὴρ καὶ τὸ ὕδωρ συνεχῆ μέν, ἀλλ' ὅμως μεμέρισται ἀμφοτέρων ἡ κίνησις· διὸ καὶ ἔστι μὲν ὡς τὸ αὐτὸ ἀκούει ὁ πρῶτος καὶ ὁ ὕστερος καὶ ὀσφραίνεται, ἔστι δ' ὡς οὔ. (π. αἰσθ. c. 3. 6. 7 v. infra p. 15, 19 ss.)

(6.) *Περὶ τὰ ζῷα ἱστορία* IV 9. V 14. VII 1.

IV 9, 1. p. 535^{a27}. *Περὶ φωνῆς τῶν ζῴων ὧδ' ἔχει.* φωνὴ καὶ ψόφος ἕτερόν ἐστι καὶ τρίτον τούτων διά-

15 γίνεσθαι ὅμως οὐδὲν ἧττον, ὥσπερ ὁ Bk.

λεκτος. φωνεῖ μὲν οὖν οὐδενὶ τῶν ἄλλων μορίων οὐδὲν πλὴν τῷ φάρυγγι· διὸ ὅσα μὴ ἔχει πνεύμονα, οὐδὲ φθέγγεται· διάλεκτος δὲ ἡ τῆς φωνῆς ἐστι τῇ γλώττῃ διάρθρωσις. τὰ μὲν οὖν φωνήεντα ἡ φωνὴ καὶ ὁ λάρυγξ ἀφίησιν, τὰ δὲ ἄφωνα (p. 535[b]) ἡ γλῶττα καὶ τὰ χείλη· ἐξ ὧν ἡ διάλεκτός ἐστιν.

(7.) V 14, 4. p. 545[a 14]. Ὡς μὲν οὖν ἐπὶ τὸ πολύ, καθάπερ εἴπομεν, διαφέρει ἡ φωνὴ τῶν ἀῤῥένων καὶ τῶν θηλειῶν ἐν τῷ βαρύτερον φθέγγεσθαι τὰ ἄῤῥενα τῶν θηλειῶν, ὅσων ἔστιν ἀπότασις τῆς φωνῆς. οὐ μὴν ἐν πᾶσί γε τοῖς ζῴοις, ἀλλ' ἐνίοις τοὐναντίον, οἷον ἐπὶ τῶν βοῶν. ἐπὶ γὰρ τούτων τὸ θῆλυ τοῦ ἄῤῥενος βαρύτερον φθέγγεται καὶ οἱ μόσχοι τῶν τελείων. διὸ καὶ τὰς φωνὰς τὰ ἐκτεμνόμενα μεταβάλλουσιν ἐναντίως· εἰς τὸ θῆλυ γὰρ μεταβάλλουσι τὰ ἐκτεμνόμενα.

(VI 10, 4 v. infra p. 35.)

(8.) VII 1, 1. p. 581[a 17]. Περὶ δὲ τὸν αὐτὸν χρόνον ⟨ἐν τοῖς ἔτεσι τοῖς δὶς ἑπτὰ τετελεσμένοις τῷ ἄῤῥενι⟩ ἥ τε φωνὴ μεταβάλλειν ἄρχεται ἐπὶ τὸ τραχύτερον καὶ ἀνωμαλέστερον, οὔτ' ἔτι ὀξεῖα οὖσα, οὔτε πω βαρεῖα, οὔτε πᾶσα ὁμαλή, ἀλλ' ὁμοία φαινομένη ταῖς παρανενευρισμέναις καὶ τραχείαις χορδαῖς· ὃ καλοῦσι τραγίζειν. . . . 3. . . . καὶ τοῖς θήλεσιν . . (p. 581[b]) . . . καὶ ἡ φωνή τε καὶ ταῖς παισὶ μεταβάλλει περὶ τὸν χρόνον τοῦτον ἐπὶ τὸ βαρύτερον. ὅλως μὲν γὰρ γυνὴ ἀνδρὸς ὀξυφωνότερον, αἱ δὲ νέαι τῶν πρεσβυτέρων, ὥσπερ καὶ οἱ παῖδες τῶν ἀνδρῶν· ἀλλ' ἐστιν ἡ φωνὴ ὀξυτέρα ἡ τῶν θηλειῶν παίδων ἢ τῶν ἀῤῥένων, καὶ ὁ παρθένιος αὐλὸς τοῦ παιδικοῦ ὀξύτερος.

---

10 ἀπότασις. cf. quae attulimus ad librum de anima II 8, 9.

B. De diesi.

(9.) Ἀναλυτικῶν ὑστέρων I 23.

p. 84^{b37}. Ὥσπερ ἐν τοῖς ἄλλοις ἡ ἀρχὴ ἁπλοῦν, τοῦτο δ' οὐ ταὐτὸ πανταχοῦ, ἀλλ' ἐν βάρει μὲν μνᾶ, ἐν δὲ μέλει δίεσις, ἄλλο δ' ἐν ἄλλῳ, οὕτως ἐν συλλογισμῷ τὸ ἓν (p. 85) πρότασις ἄμεσος, ἐν δ' ἀποδείξει καὶ ἐπιστήμῃ ὁ νοῦς.

(10.) Περὶ αἰσθήσεως 6.

p. 445^{b31}. Τὸ μυριοστομόριον λανθάνει (p. 446) τῆς κέγχρου ὁρωμένης, καίτοι ἡ ὄψις ἐπελήλυθεν, καὶ ὁ ἐν τῇ διέσει φθόγγος λανθάνει, καίτοι συνεχοῦς ὄντος ἀκούει τοῦ μέλους παντός· τὸ δὲ διάστημα τὸ τοῦ μεταξὺ πρὸς τοὺς ἐσχάτους λανθάνει. ὁμοίως δὲ καὶ ἐν τοῖς ἄλλοις αἰσθητοῖς τὰ μικρὰ πάμπαν· δυνάμει γὰρ ὁρατά, ἐνεργείᾳ δ' οὔ, ὅταν χωρισθῇ.

(11.) Τῶν Μετὰ τὰ φυσικά IV 6. IX 1. IX 2. XIII 1.

IV 6, 12. p. 1016^{b18}. Τὸ πρῶτον μέτρον ἀρχή· ᾧ γὰρ πρώτῳ γνωρίζομεν, τοῦτο πρῶτον μέτρον ἑκάστου γένους· ἀρχὴ οὖν τοῦ γνωστοῦ περὶ ἕκαστον τὸ ἕν. οὐ ταὐτὸ δὲ ἐν πᾶσι τοῖς γένεσι τὸ ἕν. ἔνθα μὲν γὰρ δίεσις, ἔνθα δὲ τὸ φωνῆεν ἢ ἄφωνον· βάρους δ' ἕτερον καὶ κινήσεως ἄλλο. πανταχοῦ δὲ τὸ ἓν ἢ τῷ ποσῷ ἢ τῷ εἴδει ἀδιαίρετον.

---

10 ἐν τῇ διέσει φθόγγος λανθάνει. ubi a parypate vocem paulatim ad hypaten demittis, non percipiuntur singuli vocis descendentis gradus. cf. probl. XIX 3, 4. Jan ad Bachii isagogen (ann. lycei Arg. 1891) p. 4. Ar. Qu. I 7, p. 14 M. δίεσις ἐκαλεῖτο τὸ σμικρότατον τῆς φωνῆς διάστημα, οἷον διάλυσις τῆς φωνῆς οὖσα.

7 (12.) IX 1, 7. p. 1052^{b} 20. *Μέτρον ἐστὶν, ᾧ τὸ ποσὸν γιγνώσκεται· γιγνώσκεται δ' ἢ ἑνὶ ἢ ἀριθμῷ τὸ ποσὸν ᾗ ποσόν, ὁ δ' ἀριθμὸς ἅπας ἑνί. ὥστε πᾶν τὸ ποσὸν γιγνώσκεται ᾗ ποσὸν τῷ ἑνί, καὶ ᾧ πρώτῳ ποσὰ γιγνώσκεται, τοῦτο αὐτὸ ἕν· διὸ τὸ ἓν ἀριθμοῦ ἀρχὴ* 5
8 *ᾗ ἀριθμός. ἐντεῦθεν δὲ καὶ ἐν τοῖς ἄλλοις λέγεται μέτρον, ᾧ πρώτῳ τε ἕκαστον γιγνώσκεται, καὶ τὸ μέτρον ἑκάστου ἓν ἐν μήκει, ἐν πλάτει, ἐν βάθει, ἐν βάρει, ἐν*
9 *τάχει .... Ἐν πᾶσι δὴ τούτοις μέτρον καὶ ἀρχὴ ἕν τι καὶ ἀδιαίρετον, ἐπεὶ καὶ ἐν ταῖς γραμμαῖς χρῶνται ὡς* 10 *ἀτόμῳ τῇ ποδιαίᾳ. πανταχοῦ γὰρ τὸ μέτρον ἕν τι ζητοῦσι καὶ ἀδιαίρετον· τοῦτο δὲ τὸ ἁπλοῦν ἢ τῷ ποιῷ ἢ τῷ ποσῷ. ὅπου μὲν οὖν δοκεῖ μὴ εἶναι ἀφελεῖν ἢ προσθεῖναι, τοῦτο ἀκριβὲς τὸ μέτρον,* (p. 1053) *διὸ τὸ τοῦ ἀριθμοῦ ἀκριβέστατον· τὴν γὰρ μονάδα τιθέασι* 15 *πάντῃ ἀδιαίρετον. ἐν δὲ τοῖς ἄλλοις μιμοῦνται τὸ τοιοῦτον· ἀπὸ γὰρ σταδίου καὶ ταλάντου· καὶ ἀεὶ τοῦ μείζονος λάθοι ἂν καὶ προστεθέν τι καὶ ἀφαιρεθὲν*
10 *μᾶλλον ἢ ἀπὸ ἐλάττονος. ὥστε ἀφ' οὗ πρώτου κατὰ τὴν αἴσθησιν μὴ ἐνδέχεται, τοῦτο πάντες ποιοῦνται* 20 *μέτρον, καὶ ὑγρῶν καὶ ξηρῶν καὶ βάρους καὶ μεγέθους. καὶ τότ' οἴονται εἰδέναι τὸ ποσόν, ὅταν εἰδῶσι διὰ τούτου τοῦ μέτρου. (καὶ δὴ καὶ κίνησιν τῇ ἁπλῇ κινήσει καὶ τῇ ταχίστῃ· ὀλίγιστον γὰρ αὕτη ἔχει χρόνον. διὸ ἐν τῇ ἀστρολογίᾳ τὸ τοιοῦτον ἓν ἀρχὴ καὶ μέτρον·* 25 *τὴν κίνησιν γὰρ ὁμαλὴν ὑποτίθενται καὶ ταχίστην τὴν τοῦ οὐρανοῦ, πρὸς ἣν κρίνουσι τὰς ἄλλας.) καὶ ἐν μουσικῇ δίεσις, ὅτι ἐλάχιστον, καὶ ἐν φωνῇ στοιχεῖον. καὶ ταῦτα πάντα ἕν τι οὕτως, οὐχ ὡς κοινὸν*
11 *τὸ ἕν, ἀλλ' ὥσπερ εἴρηται. οὐκ ἀεὶ δὲ τῷ ἀριθμῷ ἓν* 30 *τὸ μέτρον, ἀλλ' ἐνίοτε πλείω, οἷον αἱ διέσεις δύο*

αἱ μὴ κατὰ τὴν ἀκοήν, ἀλλ ἐν τοῖς λόγοις, καὶ αἱ φωναὶ πλείους αἷς μετροῦμεν, καὶ ἡ διάμετρος δυσὶ μετρεῖται καὶ ἡ πλευρὰ καὶ τὰ μεγέθη πάντα.

(13.) IX 2. p. 1053^{b32}. *Εἰ τὰ ὄντα ἦν χρώματα, ἦν ἂν ἀριθμός τις τὰ ὄντα . . . χρωμάτων. καὶ τὸ ἓν ἦν ἄν τι ἕν, οἷον τὸ λευκόν. ὁμοίως δὲ καὶ εἰ μέλη τὰ ὄντα ἦν, ἀριθμὸς ἂν ἦν, διέσεων μέντοι, ἀλλ' οὐκ ἀριθμὸς ἡ οὐσία αὐτῶν· καὶ τὸ ἓν ἦν ἄν τι, οὗ ἡ οὐσία οὐ τὸ ἓν ἀλλὰ διέσις.*

(14.) XIII 1, 7. p. 1087^{b33}. *Τὸ δὲ ἓν ὅτι μέτρον σημαίνει, φανερόν. καὶ ἐν παντί ἐστι τι ἕτερον ὑποκείμενον, οἷον ἐν ἁρμονίᾳ δίεσις, ἐν δὲ μεγέθει δάκτυλος ἢ ποὺς ἤ τι τοιοῦτον, ἐν δὲ ῥυθμοῖς βάσις ἢ συλλαβή. ὁμοίως δὲ καὶ ἐν βάρει σταθμός τις ὡρισμένος ἐστί, καὶ κατὰ πάντων δὲ τὸν αὐτὸν τρόπον* (p. 1088), *ἐν μὲν τοῖς ποιοῖς ποιόν τι, ἐν δὲ τοῖς ποσοῖς ποσόν τι.*

C. De mesa.

(15.) *Τῶν μετὰ τὰ φυσικά* IV 11, 5.

p. 1018^{b26}. *Τὰ δὲ ⟨ἐν ἀρχῆς γένει ἐστὶ⟩ κατὰ τάξιν· ταῦτα δ' ἐστὶν ὅσα πρός τι ἓν ὡρισμένον διέστηκε κατὰ τὸν λόγον, οἷον παραστάτης τριτοστάτου πρότερον καὶ παρανήτη νήτης· ἔνθα μὲν γὰρ ὁ κορυφαῖος, ἔνθα δὲ ἡ μέση ἀρχή.*

17 Mese *Ἀρχή*· haud scio an huc sit referendum quod ait Aristoteles in Republica I 5 p. 1254^{a32} (I 2, 9 ed. Didot) *καὶ γὰρ ἐν τοῖς μὴ μετέχουσι ζωῆς ἐστί τις ἀρχή, οἷον ἁρμονίας.*

D. De consonantia.

(16.) *Ἀναλυτικὰ ὕστερα* II 2, 3.

p. 90^{a} ^{19}. *Τί ἐστι συμφωνία; Λόγος ἀριθμῶν ἐν ὀξεῖ καὶ βαρεῖ. — Διὰ τί συμφωνεῖ τὸ ὀξὺ τῷ βαρεῖ; Διὰ τὸ λόγον ἔχειν ἀριθμῶν τὸ ὀξὺ καὶ τὸ βαρύ.*

(17.) *Φυσικὴ ἀκρόασις* II 3, 6.

p. 195^{a} ^{29}. *Λέγεται αἰτία πολλαχῶς καὶ αὐτῶν τῶν ὁμοειδῶν προτέρως καὶ ὑστέρως ἄλλο ἄλλου, οἷον ὑγιείας ὁ ἰατρὸς καὶ τεχνίτης καὶ τοῦ διὰ πασῶν τὸ διπλάσιον καὶ ὁ ἀριθμὸς καὶ ἀεὶ τὰ περιέχοντα πρὸς τὸ καθ' ἕκαστα.*

(18.) *Περὶ ψυχῆς* III 2, 9.

p. 426^{b} ^{6}. *Εἰ δὲ . . . λόγος ἡ συμφωνία, ἀνάγκη καὶ τὴν ἀκοὴν λόγον τινὰ εἶναι. καὶ διὰ τοῦτο καὶ φθείρει ἕκαστον ὑπερβάλλον, καὶ τὸ ὀξὺ καὶ τὸ βαρύ, τὴν ἀκοήν . . . καὶ ἡδέα μέν, ὅταν εἰλικρινῆ καὶ ἀμιγῆ ἄγηται εἰς τὸν λόγον, οἷον τὸ ὀξὺ ἢ γλυκὺ ἢ ἁλμυρόν· ἡδέα γὰρ τότε. ὅλως δὲ μᾶλλον τὸ μικτὸν συμφωνία ἢ τὸ ὀξὺ ἢ βαρύ.*

---

4 *καὶ* Jan cum c. Coisl. 170. *ἢ* Bk. cum rel.

---

2 Quid sit symphonia, repetitur metaph. VII, 2, 6 (p. 1043^{a} ^{10}): *ὀξέος καὶ βαρέος μῖξις τοιάδε.* cf. metaph. I 9, 13 (p. 991^{b} ^{13}) *λόγοι ἀριθμῶν τάνταῦθα, οἷον ἡ συμφωνία.* 6 Cf. metaph. IV 2, 1 (p. 1013^{a} ^{27}) ⟨*αἴτιον λέγεται*⟩ . . . *ὁ λόγος τοῦ τί ἦν εἶναι καὶ τὰ τούτων γένη, οἷον τοῦ διὰ πασῶν τὰ δύο πρὸς ἓν καὶ ὅλως ὁ ἀριθμὸς καὶ τὰ μέρη τὰ ἐν τῷ λόγῳ.*

(19.) *Περὶ αἰσθήσεως καὶ αἰσθητῶν* c. 3. 7.

c. 3. p. 439[b 19]. *Ἐνδέχεται μὲν γὰρ παρ' ἄλληλα τιθέ-* 3
μενα τὸ λευκὸν καὶ τὸ μέλαν, ὥσθ' ἑκάτερον μὲν εἶναι ἀόρατον διὰ σμικρότητα, τὸ δ' ἐξ ἀμφοῖν ὁρατὸν οὕτω γίνεσθαι. τοῦτο γὰρ οὔτε λευκὸν οἷόν τε φαίνεσθαι οὔτε μέλαν· ἐπεὶ δ' ἀνάγκη μέν τι ἔχειν χρῶμα, τούτων δ' οὐδέτερον δυνατόν, ἀνάγκη μικτόν τι εἶναι καὶ εἶδός τι χρόας ἕτερον. ἔστι μὲν οὖν οὕτως ὑπολαβεῖν πλείους εἶναι χρόας παρὰ τὸ λευκὸν καὶ τὸ μέλαν, πολλὰς δὲ τῷ λόγῳ· τρία γὰρ πρὸς δύο, καὶ τρία πρὸς τέτταρα καὶ κατ' ἄλλους ἀριθμοὺς ἔστι παρ' ἄλληλα κεῖσθαι, τὰ δ' ὅλως κατὰ λόγον μὲν μηδένα, καθ' ὑπεροχὴν δέ τινα καὶ ἔλλειψιν ἀσύμμετρον, καὶ τὸν αὐτὸν δὴ τρόπον ἔχειν ταῦτα ταῖς συμφωνίαις. τὰ μὲν γὰρ ἐν ἀριθμοῖς εὐλογίστοις χρώματα καθάπερ ἐκεῖ τὰς συμφωνίας τὰ ἥδιστα τῶν χρωμάτων εἶναι δοκοῦντα, (p. 420) οἷον τὸ ἁλουργὸν καὶ φοινικοῦν καὶ ὀλίγ' ἄττα τοιαῦτα, δι' ἥνπερ αἰτίαν καὶ αἱ συμφωνίαι ὀλίγαι, — τὰ δὲ μὴ ἐν ἀριθμοῖς τἆλλα χρώματα ἢ καὶ πάσας τὰς χρόας ἐν ἀριθμοῖς εἶναι, τὰς μὲν τεταγμένας, τὰς δ' ἀτάκτους, καὶ αὐτὰς ταύτας, ὅταν μὴ καθαραὶ ὦσι, διὰ τὸ μὴ ἐν ἀριθμοῖς εἶναι τοιαύτας γίνεσθαι.

(20.) c. 7. p. 447[a 12]. *Ἔστι δέ τις ἀπορία καὶ ἄλλη* 7
τοιάδε περὶ αἰσθήσεως, πότερον ἐνδέχεται δυεῖν ἅμα αἰσθάνεσθαι ἐν τῷ αὐτῷ καὶ ἀτόμῳ χρόνῳ, ἢ οὔ, εἰ δὴ ἀεὶ ἡ μείζων κίνησις τὴν ἐλάττω ἐκκρούει· διὸ ἐπιφερομένων ἐπὶ τὰ ὄμματα οὐκ αἰσθάνονται, ἐὰν τύχωσι σφόδρα τι ἐννοοῦντες ἢ φοβούμενοι ἢ ἀκούοντες πολὺν ψόφον. τοῦτο δὴ ὑποκείσθω, καὶ ὅτι ἑκάστου μᾶλλον ἔστιν

αἰσθάνεσθαι ἁπλοῦ ὄντος ἢ κεκραμένου, οἷον οἴνου ἀκράτου ἢ κεκραμένου, καὶ μέλιτος, καὶ χρόας, καὶ τῆς νήτης μόνης ἢ ἐν τῷ διὰ πασῶν, διὰ τὸ ἀφανίζειν ἄλληλα. τοῦτο δὲ ποιεῖ ἐξ ὧν ἕν τι γίνεται. εἰ δὴ ἡ μείζων τὴν ἐλάττω κίνησιν ἐκκρούει, ἀνάγκη, ἂν ἅμα ὦσι, καὶ αὐτὴν ἧττον αἰσθητὴν εἶναι ἢ εἰ μόνη ἦν· ἀφαιρεῖται γάρ τι ἡ ἐλάττων μιγνυμένη, εἴπερ ἅπαντα τὰ ἁπλᾶ μᾶλλον αἰσθητά ἐστιν. ἐὰν ἄρα ἴσαι ὦσιν ἕτεραι οὖσαι, οὐδετέρας ἔσται αἴσθησις· ἀφανιεῖ γὰρ ἡ ἑτέρα ὁμοίως τὴν ἑτέραν· ἁπλῆς δ' οὐκ ἔστιν αἰσθάνεσθαι. ὥστε ἢ οὐδεμία ἔσται αἴσθησις ἢ ἄλλη ἐξ ἀμφοῖν. ὅπερ καὶ γίνεσθαι δοκεῖ ἐκ τῶν κερανυμένων ἐν ᾧ ἂν μιχθῶσιν.

Ἐπεὶ οὖν ἐκ μὲν ἐνίων γίνεταί τι, ἐκ δ' ἐνίων οὐ γίνεται, τοιαῦτα δὲ τὰ ὑφ' ἑτέραν αἴσθησιν, — μίγνυνται γὰρ [447ᵇ] ὧν τὰ ἔσχατα ἕν· (οὐκ ἔστι δ' ἐκ λευκοῦ καὶ ὀξέος ἓν γενέσθαι ἀλλ' ἢ κατὰ συμβεβηκός, ἀλλ' οὐχ ὡς ἐξ ὀξέος καὶ βαρέος συμφωνία) — οὐκ ἄρα οὐδ' αἰσθάνεσθαι ἐνδέχεται αὐτῶν ἅμα. ἴσαι μὲν γὰρ οὖσαι αἱ κινήσεις ἀφανιοῦσιν ἀλλήλας, ἐπεὶ μία οὐ γίνεται ἐξ αὐτῶν. ἐὰν δ' ἄνισοι, ἡ κρείττων αἴσθησιν ἐμποιήσει, ἐπεὶ μᾶλλον ἅμα δυεῖν αἴσθοιτ' ἂν ἡ ψυχὴ τῇ μιᾷ αἰσθήσει ὧν μία αἴσθησις, οἷον ὀξέος καὶ βαρέος· μᾶλλον γὰρ ἅμα ἡ κίνησις τῆς μιᾶς ταύτης ἢ τοῖν δυοῖν, οἷον ὄψεως καὶ ἀκοῆς.

Τῇ μιᾷ δὲ ἅμα δυοῖν οὐκ ἔστιν αἰσθάνεσθαι ἂν μὴ μιχθῇ· τὸ γὰρ μῖγμα ἓν βούλεται εἶναι, τοῦ δ' ἑνὸς μία αἴσθησις, ἡ δὲ μία ἅμα αὐτῇ. ὥστ' ἐξ ἀνάγκης τῶν μεμιγμένων ἅμα αἰσθάνεται, ὅτι μιᾷ αἰσθήσει

---

16 τὰ ἔσχατα ἕν ut 2 : 1 = $^2/_1$.

κατ' ἐνέργειαν αἰσθάνεται· ἑνὸς μὲν γὰρ ἀριθμῷ ἡ κατ' ἐνέργειαν μία, εἴδει δὲ ἡ κατὰ δύναμιν μία. καὶ εἰ μία τοίνυν ἡ αἴσθησις ἡ κατ' ἐνέργειαν, ἓν ἐκεῖνα ἐρεῖ. μεμῖχθαι ἄρα ἀνάγκη αὐτά. ὅταν ἄρα μὴ ᾖ μεμιγμένα, δύο ἔσονται αἰσθήσεις αἱ κατ' ἐνέργειαν. ἀλλὰ κατὰ μίαν δύναμιν καὶ ἄτομον χρόνον μίαν ἀνάγκη εἶναι τὴν ἐνέργειαν· μιᾶς γὰρ εἰσάπαξ μία κίνησις καὶ χρῆσις, μία δὲ ἡ δύναμις. οὐκ ἄρα ἐνδέχεται δυεῖν ἅμα αἰσθάνεσθαι τῇ μιᾷ αἰσθήσει.

p. 448[a]1. Ἔτι εἰ αἱ τῶν ἐναντίων κινήσεις ἐναντίαι, ἅμα δὲ τὰ ἐναντία ἐν τῷ αὐτῷ καὶ ἀτόμῳ οὐκ ἐνδέχεται ὑπάρχειν, ὑπὸ δὲ τὴν αἴσθησιν τὴν μίαν ἐναντία ἐστίν, οἷον γλυκὺ πικρῷ, τούτων οὐκ ἂν ἐνδέχοιτο αἰσθάνεσθαι ἅμα. ὁμοίως δὲ δῆλον ὅτι οὐδὲ τὰ μὴ ἐναντία· τὰ μὲν γὰρ τοῦ λευκοῦ, τὰ δὲ τοῦ μέλανός ἐστιν, καὶ ἐν τοῖς ἄλλοις ὁμοίως, οἷον τῶν χυμῶν οἱ μὲν τοῦ γλυκέος, οἱ δὲ τοῦ πικροῦ. οὐδὲ τὰ μεμιγμένα ἅμα· λόγοι γάρ εἰσιν ἀντικειμένων, οἷον τὸ διὰ πασῶν καὶ τὸ διὰ πέντε, ἂν μὴ ὡς ἓν αἰσθάνηται. οὕτως δ' εἷς λόγος ὁ τῶν ἄκρων γίνεται, ἄλλως δ' οὔ· ἔσται γὰρ ἅμα ὁ μὲν πολλοῦ πρὸς ὀλίγον ἢ περιττοῦ πρὸς ἄρτιον, ὁ δ' ὀλίγου πρὸς πολὺ ἢ ἀρτίου πρὸς περιττόν. εἰ οὖν πλεῖον ἔτι ἀπέχει ἀλλήλων καὶ διαφέρει τὰ συστοίχως μὲν λεγόμενα ἐν ἄλλῳ δὲ γένει τῶν ἐν τῷ αὐτῷ γένει (λέγω δ' οἷον τὸ γλυκὺ καὶ τὸ λευκὸν καλῶ σύστοιχα, γένει δ' ἕτερα· τὸ γλυκὺ

---

1 ἑνὸς ἀριθμῷ ut $^2/_1$ vel $^4/_3$; haec uno actu sentiuntur. 10 Ar. docet ne dulcia quidem et amara, acuta et gravia facile una sentiri, quod animus in contrariam partem moveatur. nec ita facile mixta sentiuntur; nam in diapason duae sunt rationes $^2/_1$ et $^3/_2$. ita aegre admittit posse quidem, si quis una comprehendat illas rationes, mixta uno actu percipi.

δὲ τοῦ μέλανος πλεῖον ἔτι τῷ εἴδει διαφέρει ἢ τὸ λευκόν), ἔτι ἂν ἧττον ἅμα ἐνδέχοιτο αὐτὰ αἰσθάνεσθαι ἢ τὰ τῷ γένει ταὐτά. ὥστ' εἰ μὴ ταῦτα, οὐδ' ἐκεῖνα.

Ὃ δὲ λέγουσί τινες τῶν περὶ τὰς συμφωνίας, ὅτι οὐχ ἅμα μὲν ἀφικνοῦνται οἱ ψόφοι, φαίνονται δέ, καὶ λανθάνει, ὅταν ὁ χρόνος ᾖ ἀναίσθητος, πότερον ὀρθῶς λέγεται ἢ οὔ; τάχα γὰρ ἂν φαίη τις καὶ νῦν παρὰ τοῦτο δοκεῖν ἅμα ὁρᾶν καὶ ἀκούειν, ὅτι οἱ μεταξὺ χρόνοι λανθάνουσιν. ἢ τοῦτ' οὐκ ἀληθές, οὐδ' ἐνδέχεται χρόνον εἶναι ἀναίσθητον οὐδένα οὐδὲ λανθάνειν, ἀλλὰ παντὸς ἐνδέχεται αἰσθάνεσθαι.

E. De artis usu.

(21.) *Πολιτικῶν* IV 3. VIII 5—8.

3 IV. p. 1290^{a} 11. Ἀναγκαῖον ἄρα πολιτείας εἶναι τοσαύτας, ὅσαι περ τάξεις κατὰ τὰς ὑπεροχάς εἰσι καὶ κατὰ τὰς διαφορὰς τῶν μορίων. μάλιστα δὲ δοκοῦσιν εἶναι δύο, καθάπερ ἐπὶ τῶν πνευμάτων λέγεται τὰ μὲν βόρεια, τὰ δὲ νότια, τὰ δ' ἄλλα τούτων παρεκβάσεις· οὕτω καὶ τῶν πολιτειῶν δύο, δῆμος καὶ ὀλιγαρχία . . . ὁμοίως δ' ἔχει καὶ περὶ τὰς ἁρμονίας, ὡς φασί τινες· καὶ γὰρ ἐκεῖ τίθενται εἴδη δύο, τὴν δωριστὶ καὶ τὴν φρυγιστί, τὰ δ' ἄλλα συντάγματα τὰ μὲν δώρια, τὰ δὲ

---

4 Ὃ δὲ λέγουσί τινες. quod nesciverunt veteres longioribus undis sonos graves uti, fieri non potuit quin nonnulli docerent sonum acutum prius ad aures pervenire. quibus et Theophrastus illud *ἰσοταχοῦσιν* opposuit (Porph. in Ptol. p. 243 post med., vide quae infra dicemus in proleg. ad probl.). 7 τάχα γὰρ ἄν. illos qui sequitur venit in absurda. 9 ἢ τοῦτ' οὐκ ἀληθές. falsa eos statuere apparet.

φρύγια καλοῦσιν. μάλιστα μὲν εἰώθασιν οὕτως ὑπολαμβάνειν περὶ τῶν πολιτειῶν· ἀληθέστερον δὲ καὶ βέλτιον ὡς ἡμεῖς διείλομεν, δυοῖν ἢ μιᾶς οὔσης τῆς καλῶς συνεστηκυίας τὰς ἄλλας εἶναι παρεκβάσεις, τὰς μὲν τῆς εὖ κεκραμένης ἁρμονίας, τὰς δὲ τῆς ἀρίστης πολιτείας, ὀλιγαρχικὰς μὲν τὰς συντονωτέρας καὶ δεσποτικωτέρας, τὰς δ' ἀνειμένας καὶ μαλακὰς δημοτικάς.

(22.) VIII. p. 1339[a]11. Περὶ δὲ μουσικῆς ἔνια μὲν διηπορήσαμεν τῷ λόγῳ καὶ πρότερον, καλῶς δ' ἔχει καὶ (cap. 4 § 3) νῦν ἀναλαβόντας αὐτὰ προαγαγεῖν, ἵνα ὥσπερ ἐνδόσιμον γένηται τοῖς λόγοις, οὓς ἄν τις εἴπειεν ἀποφαινόμενος περὶ αὐτῆς. οὔτε γὰρ τίνα ἔχει δύναμιν ῥᾴδιον περὶ αὐτῆς διελεῖν, οὔτε τίνος δεῖ χάριν μετέχειν αὐτῆς, πότερον παιδιᾶς ἕνεκα καὶ ἀναπαύσεως, καθάπερ ὕπνου καὶ μέθης· ταῦτα γὰρ καθ' αὑτὰ μὲν οὔτε τῶν σπουδαίων, ἀλλ' ἡδέα, καὶ ἀναπαύει μέριμναν, ὡς φησὶν Εὐριπίδης. διὸ καὶ τάττουσιν αὐτὴν καὶ χρῶνται πᾶσι τούτοις ὁμοίως, ὕπνῳ καὶ μέθῃ καὶ μουσικῇ. τιθέασι δὲ καὶ τὴν ὄρχησιν ἐν τούτοις. ἢ μᾶλλον οἰητέον πρὸς ἀρετήν (4) τι τείνειν τὴν μουσικήν, ὡς δυναμένην, καθάπερ ἡ γυμναστικὴ τὸ σῶμα ποιόν τι παρασκευάζει, καὶ τὴν μουσικὴν τὸ ἦθος ποιόν τι ποιεῖν, ἐθίζουσαν δύνασθαι χαίρειν ὀρθῶς. ἢ πρὸς διαγωγήν τι συμβάλλεται καὶ πρὸς φρόνησιν· καὶ γὰρ τοῦτο τρίτον θετέον τῶν εἰρημένων. ὅτι μὲν οὖν δεῖ τοὺς νέους μὴ παιδιᾶς ἕνεκα παιδεύειν, οὐκ ἄδηλον· οὐ γὰρ παίζουσι μανθάνοντες· μετὰ λύπης γὰρ ἡ μάθησις. ἀλλὰ μὴν οὐδὲ διαγωγὴν [τε] παισὶν ἁρμόττει καὶ ταῖς ἡλικίαις ἀποδιδόναι ταῖς τοιαύταις· οὐθενὶ γὰρ ἀτελεῖ προσήκει

8 Uncinis inclusi editionis Parisinae numeros.

(5) τέλος. ἀλλ' ἴσως ἂν δόξειεν ἡ τῶν παίδων σπουδὴ παιδιᾶς εἶναι χάριν ἀνδράσι γενομένοις καὶ τελειωθεῖσιν. ἀλλ' εἰ τοῦτ' ἐστὶ τοιοῦτον, τίνος ἂν ἕνεκα δέοι μανθανειν αὐτούς, ἀλλὰ μὴ καθάπερ οἱ τῶν Περσῶν καὶ Μήδων βασιλεῖς, ἄλλων αὐτὸ ποιούντων μεταλαμβάνειν τῆς ἡδονῆς καὶ τῆς μαθήσεως; καὶ γὰρ ἀναγκαῖον βέλτιον ἀπεργάζεσθαι τοὺς αὐτὸ τοῦτο πεποιημένους ἔργον καὶ τέχνην τῶν τοσοῦτον χρόνον ἐπιμελουμένων ὅσον πρὸς μάθησιν μόνον. εἰ δὲ δεῖ τὰ τοιαῦτα διαπονεῖν αὐτούς, καὶ περὶ τὴν τῶν ὄψων πραγματείαν
(6) αὐτοὺς ἂν δέοι παρασκευάζειν· ἀλλ' ἄτοπον. τὴν δ' αὐτὴν ἀπορίαν ἔχει καὶ εἰ δύναται τὰ ἤθη βελτίω ποιεῖν· ταῦτα γὰρ τί δεῖ μανθάνειν αὐτούς, ἀλλ' [p. 1339b] οὐχ ἑτέρων ἀκούοντας ὀρθῶς τε χαίρειν καὶ δύνασθαι κρίνειν; ὥσπερ οἱ Λάκωνες· ἐκεῖνοι γὰρ οὐ μανθάνοντες ὅμως δύνανται κρίνειν ὀρθῶς, ὡς φασί, τὰ χρηστὰ καὶ τὰ μὴ χρηστὰ τῶν μελῶν. ὁ δ' αὐτὸς λόγος κἂν εἰ πρὸς εὐημερίαν καὶ διαγωγὴν ἐλευθέριον χρηστέον αὐτῇ· τί δεῖ μανθάνειν αὐτούς, ἀλλ'
(7) οὐχ ἑτέρων χρωμένων ἀπολαύειν; σκοπεῖν δ' ἔξεστι τὴν ὑπόληψιν ἣν ἔχομεν περὶ τῶν θεῶν· οὐ γὰρ ὁ Ζεὺς αὐτὸς ᾄδει καὶ κιθαρίζει τοῖς ποιηταῖς, ἀλλὰ καὶ βαναύσους καλοῦμεν τοὺς τοιούτους καὶ τὸ πράττειν οὐκ ἀνδρὸς μὴ μεθύοντος ἢ παίζοντος.

(cap. 5 § 1) Ἀλλ' ἴσως περὶ μὲν τούτων ὕστερον ἐπισκεπτέον, ἡ δὲ πρώτη ζήτησίς ἐστι, πότερον οὐ θετέον εἰς παιδείαν τὴν μουσικὴν ἢ θετέον, καὶ τί δύναται τῶν διαπορηθέντων τριῶν, πότερον παιδείαν ἢ παιδιὰν ἢ διαγωγήν. εὐλόγως δ' εἰς πάντα τάττεται καὶ φαίνεται μετέχειν. ἥ τε γὰρ παιδιὰ χάριν ἀναπαύσεώς ἐστι, τὴν δ' ἀνάπαυσιν ἀναγκαῖον ἡδεῖαν εἶναι (τῆς γὰρ διὰ τῶν πόνων λύπης

ἰατρεία τις ἐστίν)· καὶ τὴν διαγωγὴν ὁμολογουμένως δεῖ μὴ μόνον ἔχειν τὸ καλὸν ἀλλὰ καὶ τὴν ἡδονήν· τὸ γὰρ εὐδαιμονεῖν ἐξ ἀμφοτέρων τούτων ἐστίν. τὴν δὲ μουσικὴν πάντες εἶναί φαμεν τῶν ἡδίστων, καὶ ψιλὴν οὖσαν καὶ μετὰ μελῳδίας· φησὶ γοῦν καὶ Μουσαῖος εἶναι βροτοῖς ἥδιστον ἀείδειν. διὸ καὶ εἰς τὰς (2) συνουσίας καὶ διαγωγὰς εὐλόγως παραλαμβάνουσιν αὐτὴν ὡς δυναμένην εὐφραίνειν· ὥστε καὶ ἐντεῦθεν ἄν τις ὑπολάβοι παιδεύεσθαι δεῖν αὐτὴν τοὺς νεωτέρους. ὅσα γὰρ ἀβλαβῆ τῶν ἡδέων, οὐ μόνον ἁρμόττει πρὸς τὸ τέλος ἀλλὰ καὶ πρὸς τὴν ἀνάπαυσιν. ἐπεὶ δ' ἐν μὲν τῷ τέλει συμβαίνει τοῖς ἀνθρώποις ὀλιγάκις γίνεσθαι, πολλάκις δὲ ἀναπαύονται καὶ χρῶνται ταῖς παιδιαῖς οὐχ ὅσον ἐπὶ πλέον ἀλλὰ καὶ διὰ τὴν ἡδονήν, χρήσιμον ἂν εἴη διαναπαύειν ἐν ταῖς ἀπὸ ταύτης ἡδοναῖς. συμβέβηκε δὲ τοῖς ἀνθρώποις ποιεῖσθαι τὰς (3) παιδιὰς τέλος· ἔχει γὰρ ἴσως ἡδονήν τινα καὶ τὸ τέλος, ἀλλ' οὐ τὴν τυχοῦσαν· ζητοῦντες δὲ ταύτην, λαμβάνουσιν ὡς ταύτην ἐκείνην, διὰ τὸ τῷ τέλει τῶν πράξεων ἔχειν ὁμοίωμά τι· τό τε γὰρ τέλος οὐθενὸς τῶν ἐσομένων χάριν αἱρετόν, καὶ αἱ τοιαῦται τῶν ἡδονῶν οὐθενός εἰσι τῶν ἐσομένων ἕνεκεν, ἀλλὰ τῶν γεγονότων, οἷον πόνων καὶ λύπης. δι ἣν μὲν οὖν αἰτίαν ζητοῦσι τὴν εὐδαιμονίαν γίνεσθαι διὰ τούτων τῶν ἡδονῶν, ταύτην ἄν τις εἰκότως ὑπολάβοι τὴν αἰτίαν· περὶ δὲ τοῦ κοινωνεῖν τῆς μουσικῆς, οὐ διὰ ταύτην (4) μόνην, ἀλλὰ καὶ διὰ τὸ χρήσιμον εἶναι πρὸς τὰς ἀναπαύσεις, ὡς ἔοικεν. οὐ μὴν ἀλλὰ ζητητέον μή ποτε [p. 1340] τοῦτο μὲν συμβέβηκε, τιμιωτέρα δ' αὐτῆς ἡ φύσις ἐστὶν ἢ κατὰ τὴν εἰρημένην χρείαν, καὶ δεῖ μὴ μόνον τῆς καινῆς ἡδονῆς μετέχειν ἀπ' αὐτῆς, ἧς ἔχουσι

πάντες αἴσθησιν (ἔχει γὰρ ἡ μουσικὴ τὴν ἡδονὴν φυσικήν, διὸ πάσαις ἡλικίαις καὶ πᾶσιν ἥθεσιν ἡ χρῆσις αὐτῆς ἐστὶ προσφιλής), ἀλλ' ὁρᾶν εἴ πῃ καὶ πρὸς τὸ ἦθος συντείνει καὶ πρὸς τὴν ψυχήν. τοῦτο δ' ἂν εἴη δῆλον, εἰ ποιοί τινες τὰ ἤθη γινόμεθα δι' αὐτῆς.

(5) ἀλλὰ μὴν ὅτι γινόμεθα ποιοί τινες, φανερὸν διὰ πολλῶν μὲν καὶ ἑτέρων, οὐχ ἥκιστα δὲ καὶ διὰ τῶν Ὀλύμπου μελῶν· ταῦτα γὰρ ὁμολογουμένως ποιεῖ τὰς ψυχὰς ἐνθουσιαστικάς, ὁ δ' ἐνθουσιασμὸς τοῦ περὶ τὴν ψυχὴν ἤθους πάθος ἐστίν. ἔτι δὲ ἀκροώμενοι τῶν μιμήσεων γίνονται πάντες συμπαθεῖς, καὶ χωρὶς τῶν λόγων διὰ τῶν ῥυθμῶν καὶ τῶν μελῶν αὐτῶν. ἐπεὶ δὲ συμβέβηκεν εἶναι τὴν μουσικὴν τῶν ἡδέων, τὴν δ' ἀρετὴν περὶ τὸ χαίρειν ὀρθῶς καὶ φιλεῖν καὶ μισεῖν, δεῖ δῆλον ὅτι μανθάνειν καὶ συνεθίζεσθαι μηθὲν οὕτως ὡς τὸ κρίνειν ὀρθῶς καὶ τὸ χαίρειν τοῖς ἐπιεικέσιν

(6) ἤθεσι καὶ ταῖς καλαῖς πράξεσιν. ἔστι δ' ὁμοιώματα μάλιστα παρὰ τὰς ἀληθινὰς φύσεις ἐν τοῖς ῥυθμοῖς καὶ τοῖς μέλεσιν ὀργῆς καὶ πραότητος, ἔτι δ' ἀνδρίας καὶ σωφροσύνης καὶ πάντων τῶν ἐναντίων τούτοις καὶ τῶν ἄλλων ἠθικῶν. δῆλον δὲ ἐκ τῶν ἔργων· μεταβάλλομεν γὰρ τὴν ψυχὴν ἀκροώμενοι τοιούτων. ὁ δ' ἐν τοῖς ὁμοίοις ἐθισμὸς τοῦ λυπεῖσθαι καὶ χαίρειν ἐγγύς ἐστι τῷ πρὸς τὴν ἀλήθειαν τὸν αὐτὸν ἔχειν τρόπον· οἷον εἴ τις χαίρει τὴν εἰκόνα τινὸς θεώμενος μὴ δι' ἄλλην αἰτίαν, ἀλλὰ διὰ τὴν μορφὴν αὐτήν, ἀναγκαῖον τούτῳ καὶ αὐτοῦ ἐκείνου τὴν θεωρίαν, οὗ

(7) τὴν εἰκόνα θεωρεῖ, ἡδεῖαν εἶναι. συμβέβηκε δὲ τῶν αἰσθητῶν ἐν μὲν τοῖς ἄλλοις μηδὲν ὑπάρχειν ὁμοίωμα

---

12 λόγων διὰ τῶν add. Susemihl.

τοῖς ἤθεσιν, οἷον ἐν τοῖς ἁπτοῖς καὶ τοῖς γευστοῖς, ἀλλ' ἐν τοῖς ὁρατοῖς ἠρέμα· σχήματα γάρ ἐστι τοιαῦτα, ἀλλ' ἐπὶ μικρόν, καὶ πάντες τῆς τοιαύτης αἰσθήσεως κοινωνοῦσιν. ἔτι δὲ οὐκ ἔστι ταῦτα ὁμοιώματα τῶν ἠθῶν, ἀλλὰ σημεῖα μᾶλλον τὰ γινόμενα σχήματα καὶ χρώματα τῶν ἠθῶν. καὶ ταῦτ' ἐστὶν ἐπὶ τοῦ σώματος ἐν τοῖς πάθεσιν. οὐ μὴν ἀλλ' ὅσον διαφέρει καὶ περὶ τὴν τούτων θεωρίαν, δεῖ μὴ τὰ Παύσωνος θεωρεῖν τοὺς νέους, ἀλλὰ τὰ Πολυγνώτου κἂν εἴ τις ἄλλος τῶν γραφέων ἢ τῶν ἀγαλματοποιῶν ἐστὶν ἠθικός. ἐν (8) δὲ τοῖς μέλεσιν αὐτοῖς ἔστι μιμήματα τῶν ἠθῶν. καὶ τοῦτ' ἐστὶ φανερόν· εὐθὺς γὰρ ἡ τῶν ἁρμονιῶν διέστηκε φύσις ὥστε ἀκούοντας ἄλλως διατίθεσθαι καὶ μὴ τὸν αὐτὸν ἔχειν τρόπον πρὸς ἑκάστην αὐτῶν, ἀλλὰ πρὸς μὲν ἐνίας ὀδυρτικωτέρως [p. 1340^{b}] καὶ συνεστηκότως μᾶλλον, οἷον πρὸς τὴν μιξολυδιστὶ καλουμένην, πρὸς δὲ τὰς μαλακωτέρως τὴν διάνοιαν, οἷον πρὸς τὰς ἀνειμένας· μέσως δὲ καὶ καθεστηκότως μάλιστα πρὸς ἑτέραν, οἷον δοκεῖ ποιεῖν ἡ δωριστὶ μόνη τῶν ἁρμονιῶν, ἐνθουσιαστικοὺς δ' ἡ φρυγιστί. ταῦτα γὰρ (9) καλῶς λέγουσιν οἱ περὶ τὴν παιδείαν ταύτην πεφιλοσοφηκότες· λαμβάνουσι γὰρ τὰ μαρτύρια τῶν λόγων ἐξ αὐτῶν τῶν ἔργων. τὸν αὐτὸν γὰρ τρόπον ἔχει καὶ

---

18 *ἀνειμένας*. has harmonias esse graves ex ipso nomine apparet. Plato de republica III 10 *χαλαρὰς* dicit ioniam et lydiam harmoniam, quas contrarie opponit mixolydiae. doriam lyram si quis mutare volebat in lydiam, aut intendendo hoc efficere potuit, aut remittendo. potuit enim lyram ita temperare:

e fis gis a h cis′ dis′ e′ intendendis IV chordis, aut
es f g as b c′ d′ es′ remittendis duobus vel tribus.

quarum harmoniarum illa puto erat *συντονολυδιστί*, haec *χαλαρά* vel *ἀνειμένη λυδιστί*, cf. Fleckeisen Jahrbücher 95 (1867) 815. cf. de laxatis his harmoniis infra c. 7 (§ 11).

τὰ περὶ τοὺς ῥυθμούς· οἱ μὲν γὰρ ἦθος ἔχουσι στασιμώτερον οἱ δὲ κινητικόν, καὶ τούτων οἱ μὲν φορτικωτέρας ἔχουσι τὰς κινήσεις οἱ δὲ ἐλευθεριωτέρας. ἐκ μὲν οὖν τούτων φανερὸν ὅτι δύναται ποιόν τι τὸ τῆς ψυχῆς ἦθος ἡ μουσικὴ παρασκευάζειν· εἰ δὲ τοῦτο δύναται ποιεῖν, δῆλον ὅτι προσακτέον καὶ παιδευτέον ἐν αὐτῇ τοὺς νέους. ἔστι δὲ ἁρμόττουσα πρὸς τὴν φύσιν τὴν τηλικαύτην ἡ διδασκαλία τῆς μουσικῆς· οἱ μὲν γὰρ νέοι διὰ τὴν ἡλικίαν ἀνήδυντον οὐδὲν ὑπομένουσιν ἐκόντες, ἡ δὲ μουσικὴ φύσει τῶν ἡδυσμένων ἐστίν. καί τις ἔοικε συγγένεια ταῖς ἁρμονίαις καὶ τοῖς ῥυθμοῖς πρὸς τὴν ψυχὴν εἶναι· διὸ πολλοὶ φασι τῶν σοφῶν οἱ μὲν ἁρμονίαν εἶναι τὴν ψυχήν, οἱ δ' ἔχειν ἁρμονίαν.

6 πότερον δὲ δεῖ μανθάνειν αὐτοὺς ᾄδοντάς τε καὶ χειρουργοῦντας ἢ μή, καθάπερ ἠπορήθη πρότερον, νῦν λεκτέον. οὐκ ἄδηλον δὲ ὅτι πολλὴν ἔχει διαφορὰν πρὸς τὸ γίνεσθαι ποιούς τινας, ἐάν τις αὐτὸς κοινωνῇ τῶν ἔργων· ἓν γάρ τι τῶν ἀδυνάτων ἢ χαλεπῶν ἐστὶ μὴ κοινωνήσαντας τῶν ἔργων κριτὰς γενέσθαι σπουδαίους. ἅμα δὲ καὶ δεῖ τοὺς παῖδας ἔχειν τινὰ διατριβήν, καὶ τὴν Ἀρχύτου πλαταγὴν οἴεσθαι γενέσθαι καλῶς, ἣν διδόασι τοῖς παιδίοις ὅπως χρώμενοι ταύτῃ μηδὲν καταγνύωσι τῶν κατὰ τὴν οἰκίαν· οὐ γὰρ δύναται τὸ νέον ἡσυχάζειν. αὕτη μὲν οὖν ἐστὶ τοῖς νηπίοις ἁρμόττουσα τῶν παιδίων, ἡ δὲ παιδεία πλαταγὴ τοῖς μείζοσι τῶν νέων. ὅτι μὲν οὖν παιδευτέον τὴν μουσικὴν οὕτως ὥστε καὶ κοινωνεῖν τῶν ἔργων, (2) φανερὸν ἐκ τῶν τοιούτων· τὸ δὲ πρέπον καὶ τὸ μὴ πρέπον ταῖς ἡλικίαις οὐ χαλεπὸν διορίσαι, καὶ λῦσαι πρὸς τοὺς φάσκοντας βάναυσον εἶναι τὴν ἐπιμέλειαν.

πρῶτον μὲν γάρ, ἐπεὶ τοῦ κρίνειν χάριν μετέχειν δεῖ τῶν ἔργων, διὰ τοῦτο χρὴ νέους μὲν ὄντας χρῆσθαι τοῖς ἔργοις, πρεσβυτέρους δὲ γενομένους τῶν μὲν ἔργων ἀφεῖσθαι, δύνασθαι δὲ τὰ καλὰ κρίνειν καὶ χαίρειν ὀρθῶς διὰ τὴν μάθησιν τὴν γενομένην ἐν τῇ νεότητι. περὶ δὲ τῆς ἐπιτιμήσεως ἣν τινες ἐπιτιμῶσιν (3) ὡς ποιούσης τῆς μουσικῆς βαναύσους, οὐ χαλεπὸν λῦσαι σκεψαμένους μέχρι τε πόσου τῶν ἔργων κοινωνητέον τοῖς πρὸς ἀρετὴν [p. 1341] παιδευομένοις πολιτικήν, καὶ ποίων μελῶν καὶ ποίων ῥυθμῶν κοινωνητέον, ἔτι δὲ ἐν ποίοις ὀργάνοις τὴν μάθησιν ποιητέον· καὶ γὰρ τοῦτο διαφέρειν εἰκός. ἐν τούτοις γὰρ ἡ λύσις ἐστὶ τῆς ἐπιτιμήσεως· οὐθὲν γὰρ κωλύει τρόπους τινὰς τῆς μουσικῆς ἀπεργάζεσθαι τὸ λεχθέν. φανερὸν τοίνυν (4) ὅτι δεῖ τὴν μάθησιν αὐτῆς μήτε ἐμποδίζειν πρὸς τὰς ὕστερον πράξεις, μήτε τὸ σῶμα ποιεῖν βάναυσον καὶ ἄχρηστον πρὸς τὰς πολεμικὰς καὶ πολιτικὰς ἀσκήσεις, πρὸς μὲν τὰς χρήσεις ἤδη, πρὸς δὲ τὰς μαθήσεις ὕστερον. συμβαίνοι δ' ἂν περὶ τὴν μάθησιν, εἰ μήτε τὰ πρὸς τοὺς ἀγῶνας τοὺς τεχνικοὺς συντείνοντα διαπονοῖεν, μήτε τὰ θαυμάσια καὶ περιττὰ τῶν ἔργων, ἃ νῦν ἐλήλυθεν εἰς τοὺς ἀγῶνας, ἐκ δὲ τῶν ἀγώνων εἰς τὴν παιδείαν. ἀλλὰ καὶ τὰ τοιαῦτα μέχρι περ ἂν δύνωνται χαίρειν τοῖς καλοῖς μέλεσι καὶ ῥυθμοῖς, καὶ μὴ μόνον τῷ κοινῷ τῆς μουσικῆς, ὥσπερ καὶ τῶν ἄλλων ἔνια ζῴων, ἔτι δὲ καὶ πλῆθος ἀνδραπόδων καὶ παιδίων. δῆλον δ' ἐκ τούτων καὶ ποίοις ὀργάνοις (5) χρηστέον. οὔτε γὰρ αὐλοὺς εἰς παιδείαν ἀκτέον οὔτ' ἄλλο τεχνικὸν ὄργανον, οἷον κιθάραν κἂν εἴ τι τοιοῦτον ἕτερόν ἐστιν, ἀλλ' ὅσα ποιήσει αὐτῶν ἀκροατὰς ἀγαθοὺς ἢ τῆς μουσικῆς παιδείας ἢ τῆς ἄλλης. ἔτι

δ' οὐκ ἔστιν ὁ αὐλὸς ἠθικὸν ἀλλὰ μᾶλλον ὀργιαστικόν, ὥστε πρὸς τοὺς τοιούτους αὐτῷ καιροὺς χρηστέον ἐν οἷς ἡ θεωρία κάθαρσιν μᾶλλον δύναται ἢ μάθησιν. προσθῶμεν δὲ ὅτι συμβέβηκεν ἐναντίον αὐτῷ πρὸς παιδείαν καὶ τὸ κωλύειν τῷ λόγῳ χρῆσθαι τὴν αὔλησιν. διὸ καλῶς ἀπεδοκίμασαν αὐτοῦ οἱ πρότερον τὴν χρῆσιν ἐκ τῶν νέων καὶ τῶν ἐλευθέρων, καίπερ χρησάμενοι τὸ πρῶτον αὐτῷ. (6) σχολαστικώτεροι γὰρ γενόμενοι διὰ τὰς εὐπορίας καὶ μεγαλοψυχότεροι πρὸς ἀρετήν, ἔτι τε πρότερον καὶ μετὰ τὰ Μηδικὰ φρονηματισθέντες ἐκ τῶν ἔργων, πάσης ἥπτοντο μαθήσεως, οὐδὲν διακρίνοντες ἀλλ' ἐπιζητοῦντες. διὸ καὶ τὴν αὐλητικὴν ἤγαγον πρὸς τὰς μαθήσεις. καὶ γὰρ ἐν Λακεδαίμονί τις χορηγὸς αὐτὸς ηὔλησε τῷ χορῷ, καὶ περὶ Ἀθήνας οὕτως ἐπεχωρίασεν ὥστε σχεδὸν οἱ πολλοὶ τῶν ἐλευθέρων μετεῖχον αὐτῆς· δῆλον δὲ ἐκ τοῦ πίνακος (7) ὃν ἀνέθηκε Θράσιππος Ἐκφαντίδῃ χορηγήσας. ὕστερον δ' ἀπεδοκιμάσθη διὰ τῆς πείρας αὐτῆς, βέλτιον δυναμένων κρίνειν τὸ πρὸς ἀρετὴν καὶ τὸ μὴ πρὸς ἀρετὴν συντεῖνον. ὁμοίως δὲ καὶ πολλὰ τῶν ὀργάνων τῶν ἀρχαίων, οἷον πηκτίδες καὶ βάρβιτοι καὶ τὰ πρὸς ἡδονὴν συντείνοντα τοῖς ἀκούουσι τῶν χρωμένων, ἑπτάγωνα καὶ τρίγωνα καὶ [p. 1341^{b}] σαμβῦκαι, καὶ πάντα τὰ (8) δεόμενα χειρουργικῆς ἐπιστήμης. εὐλόγως δ' ἔχει καὶ τὸ περὶ τῶν αὐλῶν ὑπὸ τῶν ἀρχαίων μεμυθολογημένον· φασὶ γὰρ δὴ τὴν Ἀθηνᾶν εὑροῦσαν ἀποβαλεῖν τοὺς αὐλούς. οὐ κακῶς μὲν οὖν ἔχει φάναι καὶ διὰ τὴν ἀσχημοσύνην τοῦ προσώπου τοῦτο ποιῆσαι δυσχεράνασαν τὴν θεόν· οὐ μὴν ἀλλὰ μᾶλλον εἰκὸς ὅτι πρὸς τὴν διάνοιαν οὐθέν ἐστιν ἡ παιδεία τῆς αὐλήσεως· τῇ δὲ Ἀθηνᾷ τὴν ἐπιστήμην περιτίθεμεν καὶ τὴν τέχνην.

ἐπεὶ δὲ τῶν τε ὀργάνων καὶ τῆς ἐργασίας ἀποδοκι- (cap. 7 § 1)
μάζομεν τὴν τεχνικὴν παιδείαν, τεχνικὴν δὲ τίθεμεν
τὴν πρὸς τοὺς ἀγῶνας· ἐν ταύτῃ γὰρ ὁ πράττων οὐ
τῆς αὐτοῦ μεταχειρίζεται χάριν ἀρετῆς, ἀλλὰ τῆς τῶν
ἀκουόντων ἡδονῆς, καὶ ταύτης φορτικῆς. διόπερ οὐ
τῶν ἐλευθέρων κρίνομεν εἶναι τὴν ἐργασίαν, ἀλλὰ
θητικωτέραν. καὶ βαναύσους δὴ συμβαίνει γίνεσθαι·
πονηρὸς γὰρ ὁ σκοπὸς πρὸς ὃν ποιοῦνται τὸ τέλος.
ὁ γὰρ θεατὴς φορτικὸς ὢν μεταβάλλειν εἴωθε τὴν
μουσικήν, ὥστε καὶ τοὺς τεχνίτας τοὺς πρὸς αὐτὸν
μελετῶντας αὐτούς τε ποιούς τινας ποιεῖ καὶ τὰ σώ-
ματα διὰ τὰς κινήσεις.

Σκεπτέον δ' ἔτι περί τε τὰς ἁρμονίας καὶ τοὺς 7 (2)
ῥυθμούς, καὶ πρὸς παιδείαν πότερον πάσαις χρηστέον
ταῖς ἁρμονίαις καὶ πᾶσι τοῖς ῥυθμοῖς ἢ διαιρετέον,
ἔπειτα τοῖς πρὸς παιδείαν διαπονοῦσι πότερον τὸν
αὐτὸν διορισμὸν θήσομεν ἢ τρίτον δεῖ τινὰ ἕτερον,
ἐπειδὴ τὴν μὲν μουσικὴν ὁρῶμεν διὰ μελοποιίας καὶ
ῥυθμῶν οὖσαν, τούτων δ' ἑκάτερον οὐ δεῖ λεληθέναι
τίνα ἔχει δύναμιν πρὸς παιδείαν, καὶ πότερον προαιρε-
τέον μᾶλλον τὴν εὐμελῆ μουσικὴν ἢ τὴν εὔρυθμον.
νομίσαντες οὖν πολλὰ καλῶς λέγειν περὶ τούτων τῶν (3)
τε νῦν μουσικῶν ἐνίους καὶ τῶν ἐκ φιλοσοφίας ὅσοι
τυγχάνουσιν ἐμπείρως ἔχοντες τῆς περὶ τὴν μουσικὴν
παιδείας, τὴν μὲν καθ' ἕκαστον ἀκριβολογίαν ἀπο-
δώσομεν ζητεῖν τοῖς βουλομένοις παρ' ἐκείνων, νῦν
δὲ νομικῶς διέλωμεν, τοὺς τύπους μόνον εἰπόντες περὶ
αὐτῶν. ἐπεὶ δὲ τὴν διαίρεσιν ἀποδεχόμεθα τῶν (4)
μελῶν ὡς διαιροῦσί τινες τῶν ἐν φιλοσοφίᾳ, τὰ μὲν
ἠθικὰ τὰ δὲ πρακτικὰ τὰ δ' ἐνθουσιαστικὰ τιθέντες,
καὶ τῶν ἁρμονιῶν τὴν φύσιν πρὸς ἕκαστα τούτων

οἰκείαν ἄλλην πρὸς ἄλλο μέρος τιθέασι, φαμὲν δ' οὐ μιᾶς ἕνεκεν ὠφελείας τῇ μουσικῇ χρῆσθαι δεῖν ἀλλὰ καὶ πλειόνων χάριν (καὶ γὰρ παιδείας ἕνεκεν καὶ καθάρσεως — τί δὲ λέγομεν τὴν κάθαρσιν, νῦν μὲν ἁπλῶς, πάλιν δ' ἐν τοῖς περὶ ποιητικῆς ἐροῦμεν σαφέστερον —, τρίτον δὲ πρὸς διαγωγήν, πρὸς ἄνεσίν τε καὶ πρὸς τὴν
(5) τῆς συντονίας ἀνάπαυσιν), [p. 1342] φανερὸν ὅτι χρηστέον μὲν πάσαις ταῖς ἁρμονίαις, οὐ τὸν αὐτὸν δὲ τρόπον πάσαις χρηστέον, ἀλλὰ πρὸς μὲν τὴν παιδείαν ταῖς ἠθικωτάταις, πρὸς δὲ ἀκρόασιν ἑτέρων χειρουργούντων καὶ ταῖς πρακτικαῖς καὶ ταῖς ἐνθουσιαστικαῖς. ὃ γὰρ περὶ ἐνίας συμβαίνει πάθος ψυχὰς ἰσχυρῶς, τοῦτο ἐν πάσαις ὑπάρχει, τῷ δὲ ἧττον διαφέρει καὶ τῷ μᾶλλον, οἷον ἔλεος καὶ φόβος, ἔτι δ' ἐνθουσιασμός. καὶ γὰρ ὑπὸ ταύτης τῆς κινήσεως κατακώχιμοί τινες εἰσίν. ἐκ δὲ τῶν ἱερῶν μελῶν ὁρῶμεν τούτους, ὅταν χρήσωνται τοῖς ἐξοργιάζουσι τὴν ψυχὴν μέλεσι, καθισταμένους ὥσπερ ἰατρείας τυχόντας καὶ καθάρσεως.
(6) ταὐτὸ δὴ τοῦτο ἀναγκαῖον πάσχειν καὶ τοὺς ἐλεήμονας καὶ τοὺς φοβητικοὺς καὶ τοὺς ὅλως παθητικούς, τοὺς δ' ἄλλους καθ' ὅσον ἐπιβάλλει τῶν τοιούτων ἑκάστῳ, καὶ πᾶσι γίνεσθαί τινα κάθαρσιν καὶ κουφίζεσθαι μεθ' ἡδονῆς. ὁμοίως δὲ καὶ τὰ μέλη τὰ καθαρτικὰ παρέχει χαρὰν ἀβλαβῆ τοῖς ἀνθρώποις. διὸ ταῖς μὲν τοιαύταις ἁρμονίαις καὶ τοῖς τοιούτοις μέλεσι θετέον τοὺς τὴν
(7) θεατρικὴν μουσικὴν μεταχειριζομένους ἀγωνιστάς. ἐπεὶ δ' ὁ θεατὴς διττός, ὁ μὲν ἐλεύθερος καὶ πεπαιδευμένος, ὁ δὲ φορτικὸς ἐκ βαναύσων καὶ θητῶν καὶ ἄλλων τοιούτων συγκείμενος, ἀποδοτέον ἀγῶνας καὶ θεωρίας καὶ τοῖς τοιούτοις πρὸς ἀνάπαυσιν. ἐστὶ δ' ὥσπερ αὐτῶν αἱ ψυχαὶ παρεστραμμέναι τῆς κατὰ φύσιν ἕξεως,

οὕτω καὶ τῶν ἁρμονιῶν παρεκβάσεις εἰσὶ καὶ τῶν μελῶν τὰ σύντονα καὶ παρακεχρωσμένα. ποιεῖ δὲ τὴν ἡδονὴν ἑκάστοις τὸ κατὰ φύσιν οἰκεῖον. διόπερ ἀποδοτέον ἐξουσίαν τοῖς ἀγωνιζομένοις πρὸς τὸν θεατὴν τὸν τοιοῦτον τοιούτῳ τινὶ χρῆσθαι τῷ γένει τῆς μουσικῆς. πρὸς δὲ παιδείαν, ὥσπερ εἴρηται, τοῖς ἠθικοῖς (8) τῶν μελῶν χρηστέον καὶ ταῖς ἁρμονίαις ταῖς τοιαύταις. τοιαύτη δ' ἡ δωριστί, καθάπερ εἴπομεν πρότερον· δέχεσθαι δὲ δεῖ κἂν τινα ἄλλην ἡμῖν δοκιμάζωσιν οἱ κοινωνοὶ τῆς ἐν φιλοσοφίᾳ διατριβῆς καὶ τῆς περὶ τὴν μουσικὴν παιδείας. ὁ δ' ἐν τῇ πολιτείᾳ Σωκράτης οὐ καλῶς [rep. III 10] τὴν φρυγιστὶ μόνην καταλείπει μετὰ τῆς δωριστί, καὶ ταῦτα ἀποδοκιμάσας [p. 1342ᵇ] τῶν ὀργάνων τὸν αὐλόν. ἔχει γὰρ τὴν αὐτὴν δύναμιν ἡ φρυγιστὶ τῶν ἁρμονιῶν ἥνπερ αὐλὸς ἐν τοῖς ὀργάνοις· ἄμφω γὰρ ὀργιαστικὰ καὶ παθητικά. δηλοῖ δ' ἡ ποίησις· πᾶσα γὰρ βακχεία καὶ πᾶσα ἡ τοιαύτη κίνησις μάλιστα (9) τῶν ὀργάνων ἐστὶν ἐν τοῖς αὐλοῖς, τῶν δ' ἁρμονιῶν ἐν τοῖς φρυγιστὶ μέλεσι λαμβάνει ταῦτα τὸ πρέπον. οἷον ὁ διθύραμβος ὁμολογουμένως εἶναι δοκεῖ Φρύγιον. καὶ τούτου πολλὰ παραδείγματα λέγουσιν οἱ περὶ τὴν σύνεσιν ταύτην ἄλλα τε, καὶ διότι Φιλόξενος ἐγχειρήσας ἐν τῇ δωριστὶ ποιῆσαι διθύραμβον τοὺς Μυσοὺς οὐχ οἷός τ' ἦν, ἀλλ' ὑπὸ τῆς φύσεως αὐτῆς ἐξέπεσεν εἰς τὴν φρυγιστὶ τὴν προσήκουσαν ἁρμονίαν πάλιν. περὶ δὲ τῆς δωριστὶ πάντες ὁμολογοῦσιν ὡς στασι- (10) μωτάτης οὔσης καὶ μάλιστ' ἦθος ἐχούσης ἀνδρεῖον. ἔτι δὲ ἐπεὶ τὸ μέσον μὲν τῶν ὑπερβολῶν ἐπαινοῦμεν καὶ χρῆναι διώκειν φαμέν, ἡ δὲ δωριστὶ ταύτην ἔχει τὴν φύσιν πρὸς τὰς ἄλλας ἁρμονίας, φανερὸν ὅτι τὰ Δώρια μέλη πρέπει παιδεύεσθαι μᾶλλον τοῖς νεωτέροις.

εἰσὶ δὲ δύο σκοποί, τό τε δυνατὸν καὶ τὸ πρέπον· καὶ γὰρ τὰ δυνατὰ δεῖ μεταχειρίζεσθαι μᾶλλον καὶ τὰ πρέποντα ἑκάστοις· ἔστι δὲ καὶ ταῦτα ὡρισμένα ταῖς ἡλικίαις, οἷον τοῖς ἀπειρηκόσι διὰ χρόνον οὐ ῥᾴδιον ᾄδειν τὰς συντόνους ἁρμονίας, ἀλλὰ τὰς ἀνειμένας ἡ (11) φύσις ὑποβάλλει τοῖς τηλικούτοις. διὸ καλῶς ἐπιτιμῶσι καὶ τοῦτο Σωκράτει τῶν περὶ τὴν μουσικήν τινες, ὅτι τὰς ἀνειμένας ἁρμονίας ἀποδοκιμάσειεν εἰς τὴν παιδείαν, ὡς μεθυστικὰς λαμβάνων αὐτάς, οὐ κατὰ τὴν τῆς μέθης δύναμιν (βακχευτικὸν γὰρ ἥ γε μέθη ποιεῖ μᾶλλον) ἀλλ' ἀπειρηκυίας. ὥστε καὶ πρὸς τὴν ἐσομένην ἡλικίαν, τὴν τῶν πρεσβυτέρων, δεῖ καὶ τῶν τοιούτων ἁρμονιῶν ἅπτεσθαι καὶ τῶν μελῶν τῶν τοιούτων. ἔτι δ' εἴ τίς ἐστι τοιαύτη τῶν ἁρμονιῶν ἡ πρέπει τῇ τῶν παίδων ἡλικίᾳ διὰ τὸ δύνασθαι κόσμον τ' ἔχειν ἅμα καὶ παιδείαν, οἷον ἡ λυδιστὶ φαίνεται πεπονθέναι μάλιστα τῶν ἁρμονιῶν, δῆλον ὅτι τούτους ὅρους τρεῖς ποιητέον εἰς τὴν παιδείαν, τό τε μέσον καὶ τὸ δυνατὸν καὶ τὸ πρέπον.

(23.) *Μετὰ τὰ φυσικά* I^{b} 1.

p. 993^{b} 15. *Εἰ μὲν γὰρ Τιμόθεος μὴ ἐγένετο, πολλὴν ἂν μελοποιίαν οὐκ εἴχομεν· εἰ δὲ μὴ Φρῦνις, Τιμόθεος οὐκ ἂν ἐγένετο.*

(24.) XIII 6, 4. p. 1092^{b} 26. *Ἀπορήσειε δ' ἄν τις καὶ τί τὸ εὖ ἐστι τὸ ἀπὸ τῶν ἀριθμῶν....* p. 1093^{a} 13.

---

24 ss. Pythagoreis haec opponi apparet. illorum nonnullos docuisse legimus p. 1093^{a} 28 tres esse litteras compositas Ξ Ψ Z, quia tres essent in musica consonantiae (diapason, diapente,

διὰ τί αἴτια ταῦτα; ἑπτὰ μὲν φωνήεντα, ἑπτὰ δὲ χορδαὶ ἡ ἁρμονία, ἑπτὰ δὲ αἱ πλειάδες, ἐν ἑπτὰ δὲ ὀδόντας βάλλει ἔνιά γε, ἔνια δ' οὔ· ἑπτὰ δὲ οἱ ἐπὶ Θήβας;

XIII 6, 6. p. 1093^{b} ^{2}. (*Λέγουσι δέ τινες ὅτι πολλὰ* 6
5 *τοιαῦτα, οἷον . . .*) *καὶ ὅτι ἴσον τὸ διάστημα ἔν τε τοῖς γράμμασιν ἀπὸ τοῦ Α πρὸς τὸ Ω καὶ ἀπὸ τοῦ βόμβυκος ἐπὶ τὴν ὀξυτάτην νεάτην ἐν αὐλοῖς, ἧς ὁ ἀριθμὸς ἴσος τῇ οὐλομελείᾳ τοῦ οὐρανοῦ.*

(25.) *Περὶ τὰ ζῷα ἱστορία.* VI 10, 4.

10 p. 565^{a} ^{22}. *Τὰ μὲν σκύλια καὶ αἱ βατίδες ἴσχουσι τὰ ὀστρακώδη, ἐν οἷς ἐγγίνεται ᾠώδης ὑγρότης· τὸ δὲ σχῆμα τοῦ ὀστράκου ὅμοιον ταῖς τῶν αὐλῶν γλώτταις.*

---

2 *ἡ ἁρμονία* cod. Par. 1853, *ἢ ἁρμονιαι* Bk. cum rel.

---

diatessaron). respondet Ar. plures esse in musica symphonias (octo admisit Aristoxenus elem. I 46, p. 64 Mq. Cleonides c. 8). syllabarum numerum in versu heroo (novenas numerat in priore, octonas in posteriore parte) negat Ar. quidquam valere, nec plus tribuit numero VII qui est vocalium ab *Α* ad *Ω* idemque esse dicitur in sonis tibiae.

7 vocabulum *βόμβυξ* sonum gravem imitatur, cf. Ar. hist. an. IV 9, 2 *τὰ μὲν* ⟨sc. *ἔντομα ζῷα*⟩ *βομβεῖ οἷον μέλιτται καὶ τὰ πτηνὰ αὐτῶν*

8 *οὐλομελείᾳ τοῦ οὐρανοῦ.* vide Nicom. harm. 3, exc. 3.

II.

PSEUDO-ARISTOTELIS
DE REBUS MUSICIS PROBLEMATA.

De Aristotelis problematis.

Horum problematum naturam postquam Prantl[1] Rose[2] Usener[3] diligenter pervestigarunt, ab ipso Aristotele ea scripta esse nemo puto contendet. quamquam enim Aristoteles problemata sua physica citat, laudantque Cicero Gellius Plutarchus Athenaeus, tamen cum locorum illorum vix dimidia pars in hac problematum sylloga inveniatur, nobis non ea servata esse quae illi citant manifesto apparet. nos cum multa legamus quae pugnent inter se et abhorreant[4], multa etiam videamus e Theophrasti scriptis minoribus excerpta[5], dubitare non possumus quin horum problematum maior pars recentiore aliqua aetate orta sit.

---

1 Haec ab Aristotele scripta iam negavit Henr. Stephanus, Ar. et Theophrasti scripta quaedam (1557) praef. — Prantl in Abhandlungen der bayrischen Akademie, phil. phil. Kl., VI 1 (1850—1852) 341.

2 Rose de Ar. librorum ordine et auctoritate (Berol. 1854) 63. 241. idem Ar. pseudepigraphus 7 (Lips. 1863) problemata ponit in classe librorum, qui contineant memorabilia varia et sine ordine ex variis aliorum Peripateticorum libris conscripta. cf. p. 215 vide etiam Zeller Philosophie der Griechen II 2^3, 101.

3 Usener, Alexandri Aphrodisiensis quae feruntur problematorum liber III et IV. annales gymnasii Ioachimici Berol. 1859. a Byzantino aliquo hic problemata illa confecta dicit p. XII.

4 Vide quae annotavi ad XI 13—18. XIX 2. 5. 7 al.

5 Prantl l. l. 372. Richter (annot. 6) inde a p. 8 passim.

quod tamen in his sectionibus saepe bis, etiam ter vel quater eaedem quaestiones repetuntur, E. Richter, qui anno 1885 his rebus operam navavit[1], recte statuit non ab uno homine varias illas formas excogitatas esse, sed diversos homines, suo quemque modo, talia problemata Alexandrinorum temporibus confecisse. et cum in libris Theophrasti etiamnum exstent loci, quos illi problematum studiosi in suum usum converterint, comparatis eiusdem problematis variis formis Richter diversorum excerpentium rationes et methodos distinxit. unum enim fuisse statuit, qui Theophrasti contextum omissis quibusdam rebus fere ad verbum exscriberet (A), alium qui in conformanda oratione variare studeret res modo contrahens modo dilatans (B), accessisse putatur tertius, qui minus etiam de forma anxius rebus in breve contrahendis problemata fabricaretur (C). ita repetita illa problemata de vocibus lacrimantium et ridentium R. ita distribuit, ut XI 13 scriptum esse dicat a B, 15 ab A, 50 a C. quartum deinde auctorem invenisse sibi videtur, qui satis haberet quaestionem ponere et paucissimis verbis solvere, huicque homini (D), qui fortasse non Theophrastum, sed recentium illorum problemata excerpserit, R. vindicat XIX 25. hanc Richteri rationem secuti age spectemus problemata repetita in sectione XIX. videmus ex eodem fonte orta:

XIX 5 et 40
7 „ 47ª
(9 „ 43)

1 Richter de Ar. problematis. diss. inaug. Bonnae 1885.

XIX (16 et 39ª)
20
22 „ 45
(24 „ 42)
25 „ 44ª
26 „ 46
27
30 „ 48
34 „ 41.

en XII paria, quorum VII ex eodem fonte ita hausta sunt, ut et quaestio et solutio inde effluxerint. quae tamen uncinis inclusi, eorum quaestiones concordant, responsa discrepant. habent etiam 20 et 27 quae respondeant cum in quaestione tum in solutione: 36 et 29. sed reliqua X paria ita sunt constituta, ut prioris lineae problemata sint brevia, alterius ordinis solutiones copiosius sint expositae. horum (20 et 27) ordo inversus videtur, ut 29 priori syllogae, 27 longius expositum posteriori adnumerem, etiam 36 fortasse illi ordini, 20 huic ascribendum putaverim. id manifestum videtur, conflatam esse hanc sectionem e duabus syllogis diversa ratione confectis.

Ex illis autem syllogis saeculo fere V vel VI (scilicet post tempora Athenaei) Richter putat confectum esse corpus illud XXXVIII sectionum, cum librarius quidam colligendi potius quam philosophandi studiosus quae ubique invenisset problemata arriperet et conscriberet. nec tamen omni consilio destitutus hic materiem congessit, sed argumenta diversa secutus redegit; namque initio ab arte medica facto problematis huc spectantibus XIV libros explevit. dein ad mathe-

sin (XV) et animae naturam (— XVII) transiit, de philologia (XVIII) et harmonia disputavit (XIX), reversus deinde ad rerum naturam de plantis egit (— XXII), de aqua (— XXIV) et aëre (— XXVI), adiunxit problemata de philosophia (XXVII—XXX), finem fecit de partibus corporis humani.

Sed praeter maius illud quaestionum corpus, quod edidit Bekker, exsistit minus quoddam, in publicum proditum anno 1857. quae problemata quamquam in codicibus nonnullis revocantur ad Alexandrum Aphrodisiensem, consentiunt tamen viri docti qui operam iis navarunt Bussemaker[1] et Usener, cum dicunt a prudentissimo illo Aristotelis interprete haec esse aliena. ac leguntur in I sectione, quae inscribitur etiam Alexandri liber III, multa de arte medica paulo copiosius scripta, brevissimis verbis deinde (ut Richter agnoscat excerptorem D) de similibus rebus quaeritur et respondetur in sectione II (= Alex. IV) 1—38. has autem duas sectiones ab editoribus non magni aestimatas sequuntur partes multo meliores, probl. 39—126 *περὶ συμπτωμάτων* et 127—192 *περὶ τετραπόδων*. in his problematis multa bene sunt soluta et Peripateticorum disciplina haud videntur indigna, quorum pars e vetere magnaque sylloga iteratur, pars e Gazae tantummodo vel Vallae[2] versione latina antea erat cognita. et in sectione illa, quae de symptomatis in-

1 Bussemaker in Aristotelis operibus ed. Didot. Parisiis IV 291. cf. p. XVIII. — cf. Usener (annot. 3) p. IX et XII.

2 Theodorus Gaza Thessalonicensis iussu Nicolai V papae medio fere saec. XV problematum Alexandri libros duos latine interpretatus est (Us. VII). Georgius Valla Placentinus plurima problemata latine versa edidit Venetiis 1498 (Us. VI).

scribitur, multa quaeruntur de vertigine sternumento, hiatu singultu, multa de vario corporis salutisque habitu, sed insunt etiam quaestiones de voce et auditu (82—95).

Iam si quaeris, unde excerptores illi problematumque auctores materiam hauserint, respondent Prantl Rose[1] Richter plurima fluxisse e Theophrasto. ac sectio I fere tota fluxit ex libris Hippocratis, II autem ex libro Theophrasti de sudore, V ex huius libro de lassitudine, XX e Theophrasto de frugibus et holeribus (etiam e causis plantarum teste Rose 192), XXIV et XXXVIII e libro de igne, XXVI e l. de ventis, alia repetuntur ex eiusdem libris de odoribus et coloribus.[2] eius autem sectionis quae est de symptomatis, cum multa Richter in Theophrasti libro de vertigine deprehenderit, omnia illa ab uno excerptore (B) ex uno fonte hausta esse ratus omnes huius sectionis quaestiones et doctrinas vindicare vult Theophrasto (p. 40). hoc tamen cave credas. nam problemata Parisina 82. 88. 92 non minus quam universa sectio XI id tuentur, quod iam Archytas[3] viderat, cum sonum doceret contineri ictu quodam aëris (πληγῇ), et oriri forti ictu celerem motum sonumque acutum. Theophrastus[4] vero multitudine oriri sonos vel numero contineri omnino

1 Prantl p. 372. Rose p. 191 s.
2 Richter p. 27. Prantl p. 373.
3 Archytas quid de sonis docuerit, habes apud Theonem de mus. c. 13 et in Porphyri commentario ad Ptol. 237. eadem Plato docet in Timaei c. 29. 37.
4 Theophrastus quid de sonis docuerit, scriptum legimus apud eundem Porphyrium p. 241—244 = Theophr. ed. Schneider V 188—193.

negat, parem ille eandemque affirmat esse sonorum celeritatem et acutorum et gravium; praesertim si consonent, negat motu eos differre posse, sed aequa esse celeritate (*ἰσοταχοῦσιν ἄμφω*); qui tamen acutis sonis tribuant numerum maiorem, versari in maximo errore. haec tamen si fuit Eresii illius doctrina, nihil inde in ullum harum sectionum problema transiit. hoc rectissime iam vidit Prantl (acta Monac. VI 1 p. 374), nec quidquam in his rebus est certius. ac ne aliud quid statuas de sectione XIX: hic quoque acumen gravitasque soni in celeritate posita docentur (37. 35^{b}. 49), hic quoque Pythagoreorum illae rationes ostenduntur diapason $^{2}/_{1}$, diapente $^{3}/_{2}$, diatessaron $^{4}/_{3}$ (pr. 23. 34 [= 41]. 35. 39. 50 et quae sunt de hypata et neta 7. 14 al.); talia e Theophrasti scriptis fluere nullo modo potuerunt. contra multis in rebus horum problematum doctrina proxime accedit ad sententias ipsius Aristotelis. sonum enim esse ictum hic docet (de anima II 8, 2. 10) atque effici aeris motu continuo (ib. 5. 6), acumen autem sonorum contineri aeris vibrati celeritate, gravitatem tarditate (ib. 8, generatio anim. V 7, 2), et quo fortius aer pulsetur, eo sonum fieri celeriorem acutioremque (gener. ib. 2. 3); — prorsus eadem legis de sonorum natura in problematum sectione XI[1]. sed altera est causa acuminis et gravitatis. fiunt enim soni etiam eo acutiores, quo minus aeris movetur, gravitas posita est in aeris moti copia

1 Sonus efficitur ictu aeris: pr. XI 6. 14. 19. 42, opus est motu continuo: XI 6, acumen fit celeritate: ib. 3. 13 ss. 53 al. celeritas vibrationum pendet ex ictus fortitudine: 14. 47. 21. 40. de motu continuo cf. 6.

et mole. et cum vocis acumen priore loco dictum sit fortius esse et maiore vi exprimi, nunc contra gravitas videtur superior esse maiorisque firmitatis. hanc difficultatem optime solvit Stagirites in libro de generatione animalium V 7, 4. distinguit enim ille materiam movendam (*τὸ κινούμενον*) et vim vel auctorem moventem (*τὸ ἰσχῦον* vel *τὸ κινοῦν*). „ac si id“ inquit (supra p. 9,6) „quod movetur superat vires eius quod movet, necesse est tarde ferri quod fertur“ i. e. ex materiae movendae mole oriuntur soni graves, veluti e longis chordis, longis tibiis, vel e chordis nulla vi intentis. „si vero movenda superantur, feruntur celeriter“ i. e. ex motoris vi et firmitate oriuntur soni acuti. „motor autem vi sua nunc multum propellens efficit motum tardum“ (materiae moles aegre mota lente serpit), „nunc facile superans facit motum celerem“ (materia vi motoris facile promota fertur celeriter). ita quae pugnare videbantur bene conciliantur. oriuntur quidem motus celeres et soni acuti tum firmitate tum infirmitate, nempe firmitate motoris, infirmitate molis movendae. bene igitur Aristoteles quae sit sonorum natura perspexit. nec multum lente ferri, exiguum celeriter ille continuo concessit; nam qui ita dicant, aliquatenus recte dicere ait, omnino vel generatim non recte (ib. § 2). neque tamen ipse semper eadem dicendi cautione usus est (sicuti paulo post scriptum legimus *ταχὺ γὰρ ὁ ὀλίγος ⟨ἀὴρ⟩ φέρεται* § 5). idem monet de anima II 8, 8, ne quis citatum vel celer ipsum putet esse acutum, neve tardum ipsum grave, quod acumen soni efficiatur motus celeritate; alio autem loco (gener. V 7, 6) breviter dicit *τὸ δὲ ταχὺ ὀξὺ ἐν φωνῇ*. hoc si magister

admittit, quis mirabitur, quod excerptores doctrinae brevitati potius student quam rerum veritati et orationis proprietati? immo hi, ut erant dubitationum et quaestionum amantes, in brevitate et repugnantia sententiarum apertum campum nacti sunt, quo excurrerent. raro illi distinguunt motorem et rem motam (*κινοῦν* et *κινούμενον* XI 14. 34), multum aeris lente moveri, exiguum celeriter ferri, hoc dicere satis habent[1], sonorum acumen modo firmitate effici, modo infirmitate repetere gaudent (annot. ad XI 14), et erat princeps quaestio haec, si acuti soni essent fortitudinis, unde fieret ut homines debiles veluti pueri canerent acute (XI 14. 40); quod vario modo quaerere non desinunt (21, v. quae annotavi ad 14). accessit similis dubitatio, si maior copia materiae efficiat sonorum gravitatem, cur canentium hominum soni acuti plus postularent roboris et firmitatis quam graves (cf. XIX 37 cum annot.). ut autem hae gravissimae quaestiones ex Aristotelis doctrina derivatae videntur, ita maximam problematum copiam ex illo fonte haustam esse apparet, quamvis pauca legantur in libro de sensu, ubi de his rebus se egisse ipse profitetur.[2] uberrimus autem fuit problematum fons caput illud de animalium generatione V 7. quae enim legimus in problematis (XI 12, cf. 22. 46) de rauca voce eorum qui cenaverint vel

1 Pr. XI 14. 16. 17. 40. 53. XIX 37.

2 Dicit enim (de generatione animalium V 7, 1 = supra p. 8, 3) quid esset vox et alia eiusmodi se exposuisse et in scriptis de sensu et in libris de anima. brevissime tamen in libro de sensu tangit vocem et sonos (locos collegit Rose de ordine librorum p. 220) et remittit § 4 legentes ad libros de anima.

potaverint, scilicet effici raucitatem et nimia humoris copia et arteriae inaequalitate (*ἀνωμαλία*), ea auctores haurire potuerunt ex illius capitis fine. quod autem declamant saepissime de voce puerorum feminarum spadonum (XI 14. 16. 34. 63), id ex eodem fonte fluxit; et problema illud XI 24, quod facile quis indignum omni philosopho iudicaverit (de voce vitulorum), ipsi debetur Aristoteli et loco eidem. is enim locus, quo *ἀπορίαν ἔχει* ipse magister confessus est, horum hominum industriam non excitare non potuit. ac calore docemur in problematis multum aeris moveri sonorumque effici gravitatem (XI 13. 32 = Par. 88. 53. 10). hoc si quis improbat, in magno audientium consessu et calore expertus intendi potius tibiarum tubarumque sonos, is evolvat idem illud caput (§ 11): Aristotelem inveniet eosdem errores profitentem. sed praeter illud de generatione caput alii libri Aristotelis his discipulis materiam praebuerunt.

De musica ipsa quid magister et quid discipuli statuant, si comparaveris, invenies motum temperatum dicere ambos.[1] symphonia autem utroque loco definitur mixta esse[2] e sonis, qui numerorum simplici ratione continentur[3] (comparanturque mixturae aliis sensibus obiectae[4]), quamquam sonorum illa mixtura

---

1 *Τεταγμένη κίνησις* pr. XIX 38. de caelo I 10. de sensu 3 cf. de virtutibus 8.

2 Pr. XIX 27. 28. analyt. post. II 2, 3 aliique loci supra sub D collecti.

3 Pr. XIX 41. 38. anima III 2, 9. sensus 3 (supra p. 19, 15), et al.

4 Symphoniam cum mixto vino comparant pr. XIX 43. sensus 7. cf. de anima l. l. musica quantum ad sensus movendos valeat, comparando docent pr. XIX 27. 29. de republica VIII 5 p. 1340^{a} ^{18}. cf. metaph. IX 7.

non nimis se delectari, immo simplicia praeferenda pari modo ambo confitentur.[1] omitto quod consonantiae exempla semper afferunt hypaten et neten; maioris certe momenti id est, quod mesen existimant omnis harmoniae principium et fundamentum.[2] plurima autem videmus inter eos concordantia de vocis reddita imagine; quid, quod non pariete, sed ipso aere sonos reici[3] uterque dicit! sero infantes loqui diuque balbutire[4], hoc depromptum videtur ex historia animalium IV 9, 8 et partibus an. II 17. cf. rhetor. II 13 in. quattuor autem problematis (XI 31. 36. 54. 60) haesitantia illa effici dicitur aliqua corporis refrigeratione, de qua Aristoteles haec docet. multum caloris inesse in corde et in pulmone[5]; qui calor cum fugerit, cor frigere et timore tremere[6] (hoc repetunt probl. XI 32. 53. 31), inde linguam impediri. frigescente autem corde vox intendi putatur (32), sicuti calore illis videntur soni remitti. hac quidem in re problemata non sibi constant; sunt enim quibus doceatur contrarium (XI 14. 18

---

1 Pr. XIX 27. *οὐκ ἐν τῇ μίξει . . . ἡ συμφωνία οὐκ ἔχει ἦθος.* cf. de sensu 7 „simplicia facilius comprehenduntur quam mixta“ (supra p. 19, 36. simile aliquid habes de audibilibus p. 801^{b} ^{19}.) quod vero laudat consonantiam auctor pr. XIX 38. 43, id facere videtur auctore Aristotele de anima III 2, 9.

2 *Ἀρχή* dicitur pr. XIX 33. 44. (20. 36.) metaph. IV 11, 5 (v. supra C 8).

3 Pr. XI 51 (Par. 93). de anima II 8, 4. spectatur echo etiam XI 6—9. 23. 45. XIX 42. quamquam pariete reici videtur sonus XI 7. 8. 25. de cavernis reiciendi soni instrumento cf. 8 et de anima § 2. 4. 6.

4 Pr. XI 1. 30 (85). 55. 57. 27 (cf. *μόριον* de lingua). 35. 38.

5 De corde vix opus est demonstratione, sed vide de respiratione 8. partes animal. II 7. III 7; de pulmone v. anima II 8, 11. partes an. IV 13. generatio II 1.

6 Partes an. II. 4. IV 11 fin. cf. pr. XI 13 de luctu.

= Par. 82). sed haec quoque sententia defendi potest loco aliquo Aristotelis, cum de piscibus dicit, ubi plus caloris sit, ibi fortiorem esse et celeriorem motum (part. an. IV 13 p. 696^{b17}). itaque quod alia problemata voces acutiores esse contendunt hieme (XI 32 = Par. 84. — 56) alia aestate (17. 61 = Par. 94), illa certe Stagiritae auctoritate nituntur, haec rerum veritate commendantur et loco illo de vi et fortitudine caloris. ac de auditu quoque inveni quod concordent. quod enim legimus in pr. XI 29. 44 impediri auditum hiatu et efflando spiritu, hoc sumptum videtur ex l. de generatione V 2. denique — ne parva omittam — *παρανενευρισμένον* illud XI 31 de chorda quae usu confecta in plures fibras discessit, primum dictum est ab Aristotele hist. an. VII 1.

Plurima igitur videmus Aristoteli cum his problematis esse communia. eadem sunt fundamenta doctrinae et gravissimae dubitationes (ut XI 14. 40) hac ipsa doctrina nituntur; etiam praecepta quae huius aetatis hominis naso adunco forsitan suspendeant, ex illa doctrina fluxerunt. iam in sectione XIX multa sunt, quae sapienti philosopho videantur dignissima, de artis usu in nomis dithyrambis tragoediis, de morali indole vel musices vel harmoniarum, de canentium erroribus et audientium voluptate, quorum etsi in Aristotelis libris qui ad nos pervenerunt pauca[1] invenimus, tamen

1 Quae de musices indole legimus XIX 27 et 29, videntur confecta esse ex libro de re publica VIII 5. quod iudicatur XIX 48 de diversis harmoniis, desumptum est ex re publ. VIII 7. quod ib. 8 comparatur sonus gravis angulo obtuso, cf. anima II 8, 8.

inter viros doctos constat plura ab illo esse orta. quae cum ita sint, contendo musica problemata fere omnia hausta esse ex doctrina ipsius Aristotelis, ut perspexit iam Prantl in actis illis Monac. p. 356.

E vetere XXXVIII sectionum corpore non plus quam septem problemata[1] adhuc ad Aristotelem sunt relata. e nova tamen sylloga extrema pars quae est de quadrupedibus Aristotelis esse existimatur[2], huic ego addo problematum de symptomatis eam partem, quae est de auditu et voce 82—96.

Qui problematum originem investigat, ei minime neglegendum est fragmentum illud, quod nobis servavit Porphyrius in commentario ad Ptolemaei harmonica scripto p. 246—254, et quod inter libros Aristotelis receptum p. 800—804 inscribi solet *περὶ ἀκουστῶν*. hoc enim fragmentum, quo considerari *vocum discrimina* Porphyrius haud male dicit, proxime accedit et ad argumenta sectionis XI et ad doctrinam Aristotelis. et continet de canendi instrumento, de ore pulmone arteria, et de aere bene dispensando fere eadem quae docet Aristoteles.[3] et cum disputatur de vocis diversis modis et qualitatibus, de voce distincta clara, dura rauca, tenui arguta aliisque generibus, et cum quaeritur quibus causis haec vel efficiantur, vel im-

---

1 Ad ipsum Aristotelem Richter p. 30 revocat haec problemata IV 18. 32. X 34. 57. XI 24. XV 12. XXIV 1. (cf. Rose de ordine 191.)

2 Usener p. X. Richter p. 31. 40.

3 Pulmo comparatur cum folle aud. $800^{b\,2}$ et de respiratione p. $480^{a\,20}$, dilatatione quadam resolvi dicitur $804^{b\,13}$ et an. hist. I 16 p. $495^{a\,34}$. cf. *ταμιευόμενος* $800^{b\,18}$ et *δυσταμίευτος* $800^{b\,31}$. $802^{a\,6}$ et *ταμιεύεσθαι* generat. an. V 7 fin. p. 12, 8.

pediantur, nunquam longe ab illius ratione et doctrina recedit. omnibus locis vides sobriam mentem Peripatetici, qui rerum naturam et causas prudenter investiget. tanta intercedit huic auctori cum Aristotele necessitas, ut saepe iisdem vocabulis utantur (veluti de puerorum spadonumque voce exili[1], de mala voce pubescentium[2], de haesitante lingua balbutientium[3]). quamobrem ab ipso Aristotele haec scripta putavit Porphyrius nec dissensit Trendelenburg (de anima p. 107), Rose autem de A. librorum ordine p. 221 auctorem hunc esse negat. quod enim physiologica potius sit quam psychologica disputatio, quod magna sit explicationis amplitudo nimiaque in singulis sententiis formandis aequabilitas, libellum ille putat, si non ab auctore categoriarum et physiognomici, at ab Aristotele esse alienum. sufficiantne haec argumenta ad librum omnino a Stagirita separandum, facile quis dubitaverit; sed in natura sonorum describenda tantum interesse mihi videtur inter eum et auctorem *περὶ ἀκουστῶν*, ut libellum Peripateticorum antistiti vindicare non audeam. hic quidem (de anima II 8) ictum vel percussionem dicit esse sonum, multa addit de natura corporis pulsati, pandi ait sonum per aerem et, si conservetur ac non scindatur vel reiciatur, pervenire ad auditum. id postulat, ut unus continuusque sit aer, *τὸ κινητικὸν ἑνὸς*

---

1 Pueri utuntur voce tenui, quod non multum aeris emittunt 800^{b} ^{18}. generatio an. V 7, 4. 6.

2 Cf. *τραγίζειν* p. 804^{a} ^{17} et in historia an. VII 1, 1. gener. V 7, 9.

3 *Τραῦλοι*, *ψελλοί* v. p. 801^{b} ^{8}. hist. an. I 11, 7. partes an. II 17.

ἀέρος συνεχείᾳ μέχρις ἀκοῆς (p. 4, 20). iam age videamus librum de audibilibus. hoc iudice ictus instrumenti aliquam partem aeris ferit, haec pars mota alteram partem movet, altera tertiam, sic deinceps. singulis autem percussionibus intercedunt silentia, quae sentiremus, nisi aures deciperentur, quae percussionum seriem continuam fingunt.[1] en egregia sonorum doctrina, qua meliorem nemo veterum invenit. quem haec scripsisse putabimus? — res pendere mihi videtur ex iis, quae Porphyrius excerpsit in pag. 213—216 commentarii ad Ptolemaei harmonica scripti. huius enim loci auctor formis diversorum motuum sagacissime dignotis ipse quoque exponit unumquemque sonitum consistere e multitudine sonorum, quibus intercedant silentia (p. 214 infra). sicut autem decipiantur oculi, qui pro puncto in cono rotante videre videantur lineam (214 med.), ita falli et turbari aures. quae cum facilius etiam graviusque decipiantur quam oculi, rectissime auditum a Democrito dici fabularum receptaculum (215 med.), nec sine causa Pythagoreos negasse auditum idoneum esse qui de consonantiis iudicaret. silentia igitur illa, quibus unusquisque sonus in sonorum multitudinem dividatur, utrumque scriptorem videmus sta-

---

1 P. 800$^{a\,8}$ *ὁ ἀὴρ φέρεται βίᾳ τὸν ἐχόμενον αὐτοῦ προωθῶν ὁμοίως*, et 803$^{b\,29}$ *ἀεὶ γὰρ ὁ ἕτερος ἀὴρ τὸν ἕτερον κινῶν ὡσαύτως ποιεῖ τὴν φωνὴν ἅπασαν ὁμοίαν, καθάπερ ἔχει καὶ ἐπὶ τῆς ὀξύτητος καὶ τῆς βαρύτητος· καὶ γὰρ τὰ τάχη τὰ τῆς πληγῆς τὰ ἕτερα τοῖς ἑτέροις συνακολουθοῦντα διαφυλάττει τὰς φωνὰς ταῖς ἀρχαῖς ὁμοίως. αἱ δὲ πληγαὶ γίνονται μὲν τοῦ ἀέρος ὑπὸ τῶν χορδῶν πολλαὶ καὶ κεχωρισμέναι, διὰ δὲ μικρότητα τοῦ μεταξὺ χρόνου τῆς ἀκοῆς οὐ δυναμένης συναισθάνεσθαι τὰς διαλείψεις, μία καὶ συνεχὴς ἡμῖν ἡ φωνὴ φαίνεται, καθάπερ καὶ ἐπὶ τῶν χρωμάτων.*

tuentem itaque sonorum naturam verissime explicantem. sin autem quaeris, unde Porphyrius hunc locum petiverit, doleo quod disertis ille verbis non dicat, sed argumentis et conclusionibus uti nos cogat. habet enim haec p. 213 post initium capitis III, ut acumen et gravitatem sonorum contineri quantitate doceat: *γράφει δὲ καὶ Ἡρακλείδης*[1] *περὶ τούτων ἐν τῇ μουσικῇ εἰσαγωγῇ ταῦτα. Πυθαγόρας, ὥς φησι Ξενοκράτης, εὗρισκε καὶ τὰ ἐν μουσικῇ διαστήματα οὐ χωρὶς ἀριθμοῦ τὴν γένεσιν ἔχοντα. ἐστὶ γὰρ σύγκρισις πρὸς ποσόν. ἐσκοπεῖτο τοίνυν, τίνος συμβαίνοντος τά τε σύμφωνα γίγνεται διαστήματα καὶ τὰ διάφωνα, καὶ πᾶν ἡρμοσμένον καὶ ἀνάρμοστον. καὶ ἀνελθὼν ἐπὶ τὴν γένεσιν τῆς φωνῆς ἔφη· ὡσεὶ μέλλει τι ἐκ τῆς ἰσότητος σύμφωνον ἀκουσθήσεσθαι, κίνησιν δεῖ* (sic V) *τινα γενέσθαι, ἡ δὲ κίνησις οὐκ ἄνευ ἀριθμοῦ γίνεται, ὁ δὲ ἀριθμὸς οὐκ ἄνευ ποσότητος. κινήσεως δέ φησιν εἴδη δύο, κτλ.* hic vides loquentem induci Heraclidem, cuius valeat usque auctoritas, dum p. 216 simili modo alius inducatur auctor Aelianus, cuius liber eadem diligentia citetur, qua hoc loco Heraclidis isagoge. Heraclidem autem Ponticum complures de musica composuisse libros accepimus per Athenaeum X 82, XIV 19, ut huius ante omnes nobis veniat in mentem. postquam hic narravit: *Πυθαγόρας εὗρισκε*, ad eundem Pythagoram refero *ἐσκοπεῖτο* et *ἀνελθὼν ἔφη*. quae si forte Pythagoram considerasse et dixisse neges, cum Xenocrate quaeso age, qui harum rerum auctor citatur. quae postea sequuntur, nemo puto ad Samium philo-

1 *καὶ* post *Ἡρ.* om. Ven. VI 10.

sophum referet, ne Archytam Democritum[1], ipsos Pythagoreos ab eodem laudari dicat. restat Xenocrates, cui quis forsitan illa vindicare velit. at hic in parenthesi cum verbo *φησίν* citatus non ita ante oculos legentium versatur, ut nomine non repetito ea quae sequuntur ad hunc referri possint. et quamvis magni aestimaret Xenocrates numeros et numerorum disciplinam, de musica nihil unquam scripsit. immo quovis ego pignore contendam summam eorum, quae p. 213 Heraclidis nomine introducantur, ad hunc ipsum esse revocandam.[2] et initium fit a subtili illa motuum distinctione (213 inf.), ponuntur *φορά* et *ἀλλοίωσις*, illius iterum dignoscuntur duae formae, ut res moveatur aut in circulo aut linea directa, in circulo corpus moveri dicitur aut ita ut progrediatur, aut ut volvatur circa axem. cui haec libentius auctori ascribas quam ei qui Hicetam et Ecphantum secutus terram circa axem volvi docebat?[3] ac praeter intermissionum illam doctrinam hoc quoque inter Porphyri excerptum (213) et *περὶ ἀκουστῶν* libellum convenit, quod uterque scriptor motus et percussiones sonorum recta regione

---

1 Democriti de atomis doctrinam Heraclides amplexus esse dicitur a Dionysio apud Eusebium praep. ev. XIV 23, 3. Diels doxographi 252. Zeller Philosophie der Griechen II 1⁴, 1035 s.

2 Qua in re socium habeo Roulez de vita et scriptis Heraclidis Pontici (Lovan. 1828) p. 99.

3 Scholia in Aristotelem p. 505 et 508 (Berol. vol. IV). Schiaparelli in *Pubblicazioni del osservatorio di Milano* 1873, 23. Zeller II 1, 1036, 5. Solem ei fuisse cor et centrum mundi demonstrat et Chalcidius in Timaeum § 109. quamquam vulgari opinioni accomodatus hic auctor apud Porphyrium 214 sup. solem lunam astra dicit loco moveri.

ἐπ' ἰθύ progredi docet.[1] quod autem Heraclides, sive secutus est Aristotelis scholas, sive non est[2], a cogitationibus eius certe et naturae speculationibus minime erat alienus, cum hoc vero *περὶ ἀκουστῶν* auctore in gravissimis rebus conspirat et consentit, ipsum puto hunc *περὶ ἀκουστῶν* libellum composuisse. quod si quis concedere dubitat, alium nisi aut ipsum Heraclidem aut aliquem eius discipulum haec scribere potuisse praefracte nego.

Iam puto quaeris ex me, videanturne multa problematum auctores petivisse ex illo *περὶ ἀκουστῶν* libello. quod affirmare non ausim. sunt quidem communia iis nonnulla vocabula ab Aristotelis usu aliena, ut *ἰσχνόφωνοι*, *βραγχιῶντες*[3], multum ab utraque parte disputatur de vocum impedimentis (*πάθη*), sed nec

---

1 *Ὅτι δὲ ἡ φορὰ γίγνεται κατὰ τὴν εὐθυπορίαν, φανερόν ἐστιν ἐπὶ τῶν ἴστων καὶ ὅλως ἐπὶ τῶν ξύλων τῶν μεγάλων, ὅταν αὐτὰ βασανίζωσιν. κ. τ. λ.* aud. 802[a 30]. *καὶ φορᾶς μὲν εἴδη δύο, ἡ μὲν ἐν κύκλῳ, ἡ δὲ ἐπ' εὐθύ* Porph. 213 inf. *ὑποκείσθω οὖν, ὅτι ἐστί τις φορὰ ἡ περὶ τοὺς φθόγγους εἰς τόπον ἐκ τόπου εἰς εὐθὺ ἐπὶ τὸ τῆς ἀκοῆς αἰσθητήριον φερομένη.* Porph. 214 sup.

2 Cum incertum sit, habueritne Aristoteles Athenis scholas ante Speusippi mortem 339 a. Ch., Heraclides autem hoc ipso tempore Athenas reliquisse dicatur (Bücheler, acad. philosophor. index VII 6) confiteor me nescire, quando hic Stagiritae scholas frequentaverit. sed gaudeo, quod Krische (Forschungen auf dem Gebiet der alten Philosophie 1840 I 326) et H. Schrader (1885 in Philologo 44, 242) Sotioni Plutarcho Stobaeo fide habita hunc inter Peripateticos rettulerunt. cum a Platonis subtilissimis speculationibus alienus, naturae tamen et rebus contemplandis deditus esset, profecto Stagiritae cogitata probavit, a quo multa audire et accipere potuit, etiam ante quam proprias scholas in lyceo ille aperiret.

3 *Ἰσχνόφωνοι* pr. XI 1. 30. 35s. 38. 54s. 60. et de audib. 804[b 26]. *βραγχιᾶν* pr. XI 22, aud. 804[a 18]. *τραχύνεται ἀρτηρία* XI 11. aud. 804[b 18].

multa sunt nec gravia quae concinant.[1] aliquantum quidem valere illud existimo, quod in pr. XI 6, cum fiat sonitus, aer dicitur aerem movere (*ἀεὶ ἕτερος ἀήρ*), sicuti scriptum videmus apud Heraclidem. et ut propagari uterque dicit sonos per aerem, ita dissolvi interdum et rumpi dicunt, eodem usi verbo *ἀποῤῥηγνύναι*.[2] sententiam autem praeclaram problematis XIX 39[b] *ἡ δευτέρα τῆς νεάτης πληγὴ τοῦ ἀέρος ὑπάτη ἐστίν*, unde apparet vibrationes chordarum numeratas esse, nescio cui maiore iure vindicem, quam ei, qui scripsit de audib. 803[b 40]: *τὸ δὲ αὐτὸ συμβαίνει τοῦτο* ⟨scil. *συνάπτεσθαι τὰ διεστηκότα, ὅταν φέρωνται ταχέως*⟩ *καὶ περὶ τὰς συμφωνίας. διὰ γὰρ τὸ περισυγκαταλαμβάνεσθαι τοὺς ἑτέρους ἤχους ὑπὸ τῶν ἑτέρων καὶ* ⟨*μὴ*⟩ *γίγνεσθαι τὰς καταπαύσεις αὐτῶν ἅμα, λανθάνουσιν ἡμᾶς αἱ μεταξὺ γιγνόμεναι φωναί* (an *σιωπαί*?). hypates enim rari ictus ita comprehenduntur (*περισυγκαταλαμβάνονται*) crebris ictibus netes, ut bini netes ictus congruant cum chordae gravissimae ictibus singulis. hausisse igitur videntur unum vel aliud problematum auctores ex libro illo *περὶ ἀκουστῶν* vel e doctrina Heraclidis, neque tamen arta iis intercedit necessitas. non sunt multa quae concordent; est contra in quo dissentiant. nam in initio fragmenti de audibilibus auctor reprehendit eos qui sonos fieri dicant aere conformato *τῷ τὸν ἀέρα σχηματίζεσθαι* —; dicunt autem hoc auctores problematum XI 51 (93). 23. quod cum nec ab Aristotele nec ab Heraclide petivisse videantur

1 Graves esse dicuntur voces eorum qui vomuerint XI 18 (82), aud. 804[a 18].

2 Pr. XI 12. 46 (= 90). XIX 3. aud. 804[b 11].

problematum factores, usos eos esse aliis etiam fontibus putandum est.

Artius certe coniuncta sunt musica problemata cum libris Aristotelis, nec multa puto vel magna invenies quae inter eos discrepent. unum quidem problema si legisset Peripateticorum magister, molestissime mihi videtur fuisse laturus. nam quod tibiarum cantus XIX 43 tantis laudibus extollitur adeoque lyrae praefertur, id probare nullo modo potuit is qui scripsit de republica VIII 6. sed in hoc ipsum problema mirum illud cadit, quod quaestionem quam repetitam legimus ex XIX 9 diverso sensu accepit diversus auctor, nam *πρὸς αὐλὸν ἢ λύραν* ille 9 interpretatur *ad tībiam vel lyram*, hic 43 *gratior est cantus ad tībiam quam ad lyram*. qua ex re manifestum fit alterum certe auctorem non exscripsisse quae in schola responderi solebant, sed ex suo ingenio quod responderet finxisse.

De aetate problematum si quid te conclusurum speras e numero chordarum vel aliis rei musicae vestigiis, timeo ut multum proficias. chordarum numerus Lasi et Simonidis temporibus primum auctus[1], Ionis Chii aetate (450 a. Ch.) erat undecim, quibus dithyrambi poetae unam chordam addiderunt.[2] problematum autem scriptores, qui nunquam chordis addant nomen tetrachordi, hypaten simpliciter dicant chordam gravissimam et neten acutissimam (XIX 3. 4. 7 al.), apparet

---

1 Ps.-Plutarchus de mus. 29. Graf, de Gr. re musica (Marburg 1889) p. 7. Suidas Simonides. Plinius hist. nat VII 204.

2 Pherecratis fragmentum comoediae apud Plut. mus. 30. vers. ult.

non plures chordas cogitasse quam octo.[1] hoc autem cum item faciat Aristoxenus in harm. princ. 50 ss. p. 22 Mb., manifestum fit missa illos artificum cithara simplicem lyram cogitare, cui plures chordae nunquam fuerint.

Nec melius res se habet, ubi consideramus usum adverbiorum *ἄνω* et *κάτω*. hac de re cum plura dicenda sint in iis quae Euclidis sectioni sumus praemissuri, sufficiat nunc dicere, quamquam prioribus temporibus Graeci *ἄνω* ad graviores sonos revocassent, tamen iam Aristoxeni aetate *ὑπέρ* in tonorum vel systematum nominibus relatum esse ad sonos acutos, ut *ἄνω* hoc libro similiter usurpari minime sit mirum.

Plurima igitur harum sectionum auctores sumpsisse videmus ex ipso Aristotele, nonnulla ex libro *περὶ ἀκουστῶν* (Heraclide) et aliis fontibus hausisse. et cum magna pars talium quaestionum haud multo post Aristotelis aetatem fabricata esse videatur, de harmonicis problematis non est quod aliud statuamus.

Bk. Contextus fundamenta iecit Immanuel Bekker: Aristotelis opera edidit academia regia Borussica Berolini 1831—70. problemata continet vol. II p. 898—923. Bk. usus est hic codicibus manuscriptis:

C est Laurentianus 87, 4.
X „ Vaticanus 1283.
Y „ Parisinus 2036.

---

1 Nec miror, si quis etiam posteriore aetate in simplici lyra septem habet nervos. ita res se habere videtur apud Aristotelem in metaphys. XIII 6, 4 (supra p. 35, 1), sed Pythagoreorum (fortasse antiquorum) ille refert praecepta.

Bj. Sectionem XIX commentario utili instruxit Ern. Fred. Bojesen de problematis Aristotelis dissertatio. Hafniae 1836.

Bs. Secutus est Bussemaker, qui editore Didot 1857 in volumine IV Aristotelis p. 173—214 problemata musica imprimenda curavit. idem in eodem

Par. volumine p. 307—309 aliam sectionem edidit recognitam ad fidem librorum Madridensium et Parisinorum. nova illa problemata alios codices

Us. secutus iterum recognovit Herm. Usener: Alexandri Aphrodisiensis quae feruntur problematorum liber III et IV (Jahresbericht des K. Joachimsthalischen Gymnasiums. Berlin 1859). De

W. nonnullis problematis egit Aug. Wagener in Gevaert, Histoire et théorie de la musique de l'antiquité. Gand. 1875—81. Denique sectionem

R. XIX Gallice interpretatus est Chr. Em. Ruelle. *Problèmes musicaux d'Aristote.* Paris, Didot. 1891. *extrait de la Revue des études grecques* IV (1891).

P. idem excusso codice Parisino 1865 scripsit *Corrections anciennes et nouvelles dans le texte des*

R 2. *problèmes musicaux d'Aristote.* dans la même Revue 1892.

[Ἀριστοτέλους] προβλήματα.

Ε. Ὅσα ἀπὸ κόπου.

2. *Διὰ τί τοῖς λειποψυχοῦσι καὶ τοῖς ἐκ τῶν γυμνασίων διαλυομένοις ἐλάττους τε οἱ ὄγκοι καὶ ὀξύτεραι δοκοῦσιν εἶναι αἱ φωναί; — Ἢ ὅτι αἵ τε φωναὶ ἐλάττους φαινόμεναι ὀξύτεραι φαίνονται (σημεῖον δὲ, ὅτι μιμούμενοι τοὺς πόῤῥωθεν ὀξὺ φθέγγονται) καὶ οἱ ὄγκοι ἐλάττους.*

ΙΑ. Ὅσα περὶ φωνῆς.

3. *Διὰ τί μεγαλόφωνοι πάντες εἰσὶν οἱ θερμοὶ τὴν φύσιν; — Ἢ ὅτι ἀνάγκη καὶ ἀέρα πολὺν καὶ ψυχρὸν ἐν τούτοις εἶναι. ἕλκει γὰρ τὸ πνεῦμα τὸ θερμὸν πρὸς ἑαυτὸ [καὶ] ἀέρα καὶ πλείω τὸ πλεῖον. ἡ δὲ μεγάλη φωνὴ γίνεται ἐν τῷ πολὺν ἀέρα κινεῖν [καὶ ὀξεῖα ἐν τῷ ταχέως, βαρεῖα δ' ἡ ἐν τῷ βραδέως].*

---

4 ὀξύτεραι C, ὀξύτεροι XY. 5 αἵ (ante φωναί) Bk, om. codd. 10 πάντες εἰσὶν om. Y. 11 φύσιν ὄντες ἢ id. καὶ ante ψ. om. Y. 12 ἐν τούτοις ante ἀέρα Y. τὸ πνεῦμα τὸ θερμὸν Bk, θερμὸν καὶ πνεῦμα codd. 13 καὶ et l. 15 seclusi.

V 2 His rebus intellegendis quicunque operam navare vult, primum adeat quaeso pr. XI 14 in., ubi quae sit sonorum natura et unde fiant acuti vel graves, luculenter exponitur. ex acuminis causis adhibitam hic vides alteram, canentis debilitatem. qui enim languet, is paululum aeris emittit, unde soni fieri dicuntur acuti. minuta autem sonorum magnitudine vel fortitudine intendi eos ad acumen repetitur XI 6 et 20, etiam de clamantium voce imitanda eandem habes sententiam XI 6. XI 3. ἕλκει fervidus illorum animus multum aeris ducit et exhalat. cf. XI 13^{b}.

6. *Διὰ τί πόῤῥωθεν αἱ φωναὶ ὀξύτεραι δοκοῦσιν εἶναι; οἱ γοῦν μιμούμενοι τοὺς σφόδρα πόῤῥω ὄντας καὶ βοῶντας ὀξὺ φθέγγονται καὶ ὅμοιον τοῖς ἀπηχοῦσιν, καὶ τῆς ἠχοῦς ὀξύτερος φαίνεται ὁ ψόφος· ἔστι δὲ πόῤῥω, ἀνακλᾶται γάρ. οὐκοῦν ἐπεὶ ὀξὺ μὲν ἐν ψόφῳ τὸ ταχύ, βαρὺ δὲ τὸ βραδύ, ἔδει βαρυτέρας πόῤῥωθεν φαίνεσθαι τὰς φωνάς. τὰ γὰρ αὖ φερόμενα πάντα βραδύτερον φέρεται, ὅσῳ ἂν ἀπέχῃ τῆς ἀρχῆς πλεῖον, καὶ τέλος πίπτει. — Πότερ' οὖν, ὅτι οἱ μιμούμενοι ἀμενηνῇ τῇ φωνῇ μιμοῦνται καὶ λεπτὴν τὴν πόῤῥωθεν φωνήν· λεπτὴ δὲ βαρεῖα οὐκ ἔστιν, οὐδὲ μικρὸν καὶ ἀμενηνὸν φθέγγεσθαι βαρύ, ἀλλ' ὀξὺ ἀνάγκη. — Ἢ οὐ μόνον οἱ μιμούμενοι διὰ τοῦτο μιμοῦνται, ἀλλὰ καὶ οἱ ψόφοι αὐτοὶ ὀξύτεροι γίγνονται. αἴτιον δὲ, ὅτι ὁ ἀὴρ ὁ φερόμενος ποιεῖ τὸν ψόφον· καὶ ὥσπερ τὸ πρῶτον ψοφεῖ τὸ κινῆσαν τὸν ἀέρα, οὕτω*

---

6 *βαρὺ* Bk, *βραχύ* codd. *βραδὺ* Bk, *βαρύ* codd. *βαρυτέρας* Bk, *βραδυτέρας* codd. 16 *ψοφεῖ* Y, *ψοφοῖ* X, *ψοφῇ* C.

Pr. 6. „Si eos, inquit, qui e longinquo clamant imitamur, acuto quidem sono clamamus [hoc fere verum] et vocis repercussae utpote e longinquo venientis sonus videtur acutus [?]. quoniam autem in sonis celeritas efficit acumen, necesse erat voces e longinquo allatas minuta celeritate videri nobis graviores. qui tamen fit, ut voces procul delatae fieri videantur acutae?" [causam quaerit rei non verae, ut in pr. 20.] (3) *τοῖς ἀπηχοῦσιν* „qui reddunt vocis imaginem ut echo". sed fortasse scribendum *ἀντηχοῦσιν*, cf. XIX 11. (4) *ἔστι δὲ πόῤῥω.* vox repercussa bis permeat spatium. (9) *πότερ' οὖν.* primum ille non problemati respondet, sed additae sententiae de vocis imitatione affert causam „quia tenuis est sonitus, gravis esse non potest". huc confer quae diximus ad pr. 14. (13) *ἢ οὐ·* „aer pellit aerem, minuitur tamen et restringitur impetus, atque ut emissa sagitta postremo concidit, ita sonus motu finito (*ἐὰν μαρανθῇ*) exilior fit eoque acutior". sagittam comparavit iam Archytas, cf. Porphyrium ad Ptol. 237. *διὰ τοῦτο* i. e. sono acuto.

δεῖ πάλιν ποιῆσαι τὸν ἀέρα καὶ ἀεὶ ἄλλον κινοῦντα εἶναι, τὸν δὲ κινούμενον. διὸ ὁ ψόφος συνεχής, ὅτι ἀεὶ ἐκδέχεται κινοῦντα κινῶν, ἕως ἂν ἀπομαρανθῇ, — ὃ ἐπὶ τῶν σωμάτων ἐστὶ τὸ πεσεῖν, ὅταν μηκέτι δύνηται ὠθεῖν ὁ ἀὴρ ἔνθα μὲν τὸ βέλος, ἔνθα δὲ τὸν ἀέρα. ἡ μὲν γὰρ φωνὴ γίνεται ἡ συνεχὴς ἀέρος ὠθουμένου ὑπ' ἀέρος, τὸ δὲ βέλος φέρεται σώματος ὑπ' ἀέρος κινουμένου. ἐνταῦθα μὲν οὖν ἀεὶ τὸ αὐτὸ φέρεται σῶμα, ἕως ἂν καταπέσῃ· ἐκεῖ δὲ ἀεὶ ἕτερος ἀήρ. καὶ πρὸ τοῦ λήγειν θᾶττον μὲν κινεῖται, ἐπ' ὀλίγον δέ. διὸ πόῤῥω ὀξύτεραι καὶ λεπτότεραι αἱ φωναί· τὸ γὰρ θᾶττον ὀξύ, ὥσπερ καὶ διηπόρηται. ὥσπερ ἡ αὐτὴ αἰτία, δι' ἣν καὶ οἱ μὲν παῖδες καὶ οἱ κάμνοντες ὀξὺ φθέγγονται, οἱ δὲ ἄνδρες καὶ οἱ ὑγιαίνοντες βαρύ. τὸ δὲ τοῖς ἐγγὺς μὴ ἐπίδηλον εἶναι τὴν φωνὴν ἢ βα-

1 ποιῆσαι, an κινῆσαι? καὶ ego. 2 τὸν C τὸ BK. 3 κινοῦντα Bk, κινοῦντι codd. 10 πρὸ τοῦ λήγειν ego, πρῶτον ἐλάττω codd. ὀλίγον CY, ἐλάττω X. 11 τὸ CY, τοῖς X. 12 ὥσπερ] ὥστε? Bk.

(1) ἀέρα ἀεὶ ἄλλον· Heraclides docet sonum multis ictibus consistere, quibus intersint silentia non sensa; apud Porphyrium in Ptol. 214. cf. de audib. 803^{b} ^{34} et prooemium nostrum p. 52. (2) τὸν δὲ respondet ad ἄλλον (μὲν). vocem desinentem fieri graviorem, non acutiorem docebant πλείους quidam. Porph. l. l. 235, 11. (10) θᾶττον μὲν· ut corpus coniectum spatio percurso ubi cadit, celeri motu humi fertur, sed brevi tempore, ita sonitus, ubi finis adest, paulisper (ἐπ' ὀλίγον) fertur motu concitato. πρῶτον autem, quod habent codd., cum iis quae sequuntur coniungi minime potest. immo dictum fuisse videtur: „sonitus primum certo quodam impetu fertur, dein celeritas minuitur, postremo corporis cadentis modo fertur citius sonatque acutius, hoc tamen paulisper." (12) διηπόρηται „ut supra p. 61, 5 diximus". (13) de pueris v. pr. 14, de aegris V 2. (15) τὸ δὲ τοῖς ἐγγύς· „quamquam obest aliquid similitudini. corpus enim coniectum unum est manetque unum et simul universum concidit, sonitus aeris partibus compositus in multas partes usque quaque diffunditur."

ρυτέραν ἢ ὀξυτέραν γινομένην, καὶ ὅλως μὴ ὁμοίως ἔχειν τοῖς ῥιπτουμένοις βάρεσιν, αἴτιον, ὅτι τὸ μὲν ῥιφθὲν ἓν φέρεται ἀεὶ τὸ αὐτό, ὁ δὲ ψόφος ἀήρ ἐστιν ὠθούμενος ὑπὸ ἀέρος. διὸ καὶ τὸ μὲν εἰς ἓν πίπτει, ἡ δὲ φωνὴ πανταχῇ, ὥσπερ ἂν εἰ τὸ ῥιφθὲν ἅμα φερόμενον ἀπείρως θρυφθείη καὶ ἔτι εἰς τοὔπισθεν. cf. 20.

10. Διὰ τί τὸ ὕδωρ τὸ ψυχρὸν ἐκ τοῦ αὐτοῦ ἀγγείου ἐκχεόμενον ὀξύτερον ποιεῖ τὸν ψόφον; — Ἢ ὅτι θάττων ἡ φορά· βαρύτερον γάρ· ἡ δὲ θάττων ὀξύτερον ποιεῖ τὸν ψόφον. τὸ δὲ θερμὸν καὶ τῇ μανότητι καὶ τῇ ἀναφορᾷ κουφίζει. παρόμοιον δὲ, ὅτι καὶ αἱ δᾷδες καιόμεναι ἀσθενεστέραν τὴν πληγὴν ποιοῦσιν.

13. Διὰ τί οἱ κλαίοντες ὀξὺ φθέγγονται, οἱ δὲ γελῶντες βαρύ; — Ἢ ὅτι οἱ μὲν ὀλίγον κινοῦσι πνεῦμα δι' ἀσθένειαν, [οἱ δὲ σφοδρῶς], ὃ ποιεῖ ταχὺ φέρεσθαι τὸ πνεῦμα· τὸ δὲ ταχὺ ὀξύ· [καὶ γὰρ ἀπὸ συντόνου

---

2 ῥιπτουμένοις C Y, ῥιπτομένοις X, cf. pr. 13. 3 ῥιφὲν C, item l. 5. ἓν] αἴτιον X, an ἓν τι ὂν? Bk. 5 πανταχοῦ X.

Pr. 10. βαρύτερον pondere, non sono. Pr. 13. Responsi prior pars glossis turbata est cf. Richter de Ar. probl. (Bonnae 1885) 18. Qui respondet, dicere incipit a flentibus. de ridentibus post διαλελυμένως dicendum erat τὸ δὲ βραδὺ ἐστι βαρύ. de soni natura aerisque motu v. ad 14. In altera parte (ab ἔτι δὲ) verae sunt lectiones, doctrina prava. docent enim illi has res ita sibi respondere:

flentes	ridentes
frigus	calor
exiguus aer	multum aeris
anguste strictus	diffusus aer
motus fortis	motus debilis
motus celer	motus lentus
sonus acutus.	sonus gravis.

σώματος ῥιπτούμενον ταχὺ φέρεται]. ὁ δὲ γελῶν τοὐναντίον διαλελυμένως. [οἱ δὲ ἀσθενεῖς ὀξύ· ὀλίγον γὰρ ἀέρα κινοῦσιν. *οἱ δὲ ἐπιπολῆς]. Ἔτι οἱ μὲν γελῶντες θερμὸν τὸ πνεῦμα ἀφιᾶσιν, οἱ δὲ κλαίοντες, ὥσπερ καὶ ἡ λύπη κατάψυξίς ἐστι τοῦ τόπου τοῦ περὶ τὰ στήθη, καὶ τὸ πνεῦμα ψυχρότερον ἀφιᾶσιν. τὸ μὲν οὖν θερμὸν πολὺν ἀέρα κινεῖ ὥστε βραδέως φέρεσθαι, τὸ δὲ ψυχρὸν ὀλίγον. συμβαίνει δὲ τοῦτο καὶ ἐπὶ τῶν αὐλῶν· οἱ γὰρ θερμοὶ τῷ πνεύματι αὐλοῦντες πολὺ βαρύτερον αὐλοῦσιν. cf. 15. 50.

14. Διὰ τί οἱ παῖδες καὶ τὰ ἄλλα τῶν ζῴων τὰ νέα ὀξύτερον φθέγγονται τῶν τελείων, καὶ ταῦτα τῆς

---

1 σώματος CY, πνεύματος X. 4 τὸ om. X. 10 βαρύτερον Bk, βραδύτερον codd.

---

(4) θερμὸν τὸ πνεῦμα· calore illi opinantur plus aeris moveri quam gelu (ut pr. 3), tardius itaque moveri sonosque fieri graviores. cf. ἰσχὺς ἐν τῷ θερμῷ 32 (= 53. Par. 88), 56 (Par. 84.) 10. 36. ac — quod magis etiam mireris — tibiarum quoque sonos calore dicunt remitti. haec autem sunt Aristotelis (gener. an. V 7, 11). — contraria his legimus in 14. 17 (= 61 Par. 94). 18 (Par. 82). ibi enim verius aer dicitur dirimi calore, sonique feruntur aestate exacui, hiemis autem frigore deprimi et remitti. de problematis origine v. Richter 19.

Pr. 14. Hoc problema qui solvit, incipit a soni natura recte explicata. fit enim sonus ictu quodam aeris (pr. 19. 42. Ar. de anima II 8, 1—2. 6—7), et acutus quidem sonus continetur celeri aeris motu, gravis lento (pr. 6. 10 cet. Ar. anima 8, 8. gener. an. V 7, 2). celeriter autem movetur aer, si corpus pulsans facile superat aerem movendum (gener. § 4), id quod duabus causis fieri potest: aut enim fit huius corporis vi et robore (ut roboris sit acumen, σφοδρότητος, ut in huius probl. quaestione et 40. 47. 21 fin. IX 35^{b}. 42 fin. hoc iam Archytas docuit testibus Porphyrio ad Ptol. 237 et Theone de mus. 13 p. 61), — aut fieri potest aeris pulsandi exiguitate et infirmitate, ut idem acumen infirmitate oriri videatur et debilitate (ἀσθενείᾳ 13. 16. (34.) 19. 20. 21 a. 40. 50. 53. 32.

ὀξύτητος σφοδρότητος οὔσης; — Ἢ ἡ φωνὴ ἐστιν ἀέρος κίνησις, καὶ ἡ θάττων ὀξυτέρα· ῥᾷον δὲ καὶ θᾶττον ὁ ὀλίγος τοῦ πολλοῦ κινεῖται ἀήρ. κινεῖται δὲ ἢ συγκρινόμενος — ἢ διακρινόμενος ὑπὸ θερμοῦ. ἐπεὶ δὲ ἡ μὲν εἰσπνοή ἐστι ψυχροῦ εἰσαγωγή, συγκρίνοιτ' ἂν ἐν αὐτῇ ὁ ἐν ἡμῖν ἀήρ. ἡ δὲ ἐκπνοὴ θερμοῦ κινήσαντος ἀέρα γίνοιτ' ἂν ἡ φωνή· ἐκπνέοντες γὰρ, οὐκ εἰσπνέοντες φωνοῦμεν. ἐπεὶ δὲ τὰ νέα θερμότερά ἐστι τῶν πρεσβυτέρων καὶ τοὺς ἐν αὐτοῖς πόρους στενωτέρους ἔχει, ἐλάττω ἂν ἀέρα ἔχοι ἐν ἑαυτοῖς. ὄντος δὲ τοῦ τε κινουμένου ἐλάττονος καὶ τοῦ κινοῦντος θερμοῦ πλείονος ἐν αὐτοῖς, θᾶττον ἂν δι' ἄμφω ἡ κίνησις γένοιτο τοῦ ἀέρος· ἡ δὲ θάττων ὀξυφωνοτέρα ἂν εἴη διὰ τὰ προειρημένα. cf. 16. 34. 62.

15. Διὰ τί οἱ κλαίοντες ὀξὺ φθέγγονται, οἱ δὲ γελῶντες βαρύ; — Ἢ ὅτι οἱ μὲν κλαίοντες συντείνοντες καὶ συνάγοντες τὸ στόμα φωνοῦσιν. τῇ δὲ δὴ συν-

---

1 σφοδροδάτης X. 6 δὲ Bk, δὴ codd. 7 ἡ ἐκπνοή? ἐν τῇ ἐκπνοῇ? an quid excidit. 10 ἑαυτοῖς] αὐτοῖς X.

V 2. XIX 37. itaque dicitur *ἰσχύει τὸ βαρύ* XIX 7 init., 8. 11—13. 23. 53. Theophrastus apud Porphyrium in Ptol. 242. *βαρύτης ὑπεροχή* Ar. generatio V 7, 2). quae cum ita sint, solvit hoc problema ipse Ar., cum dicit gener. § 4: *τῶν κινούντων τὰ ἀσθενῆ, τὰ μὲν . . . ., τὰ δὲ δι' ἀσθένειαν ὀλίγον κινοῦντα ταχεῖαν (ποιεῖ τὴν κίνησιν)*. de exigui aeris celeritate v. prooemium p. 45. utuntur autem hac conclusione (*ὀλίγος ἀὴρ ταχὺ φέρεται, πολὺς δὲ βραδύτερον*) pr. 21ª. 34. 40. 53. (4) *συγκρινόμενος* quid sibi velit, manifestum fit ex iis quae sequuntur („quamquam hauriendo spiritu cogitur aliquantum aeris, tamen respirando facile expellitur"). de aere compresso v. ad pr. 17. (8) *ἐκπνέοντες φωνοῦμεν* verum, sed aliud Ar. anima II 8, 12. — *θερμότερα* de calore firmitatis auctore v. ad 13. Pr. 15. *συντείνοντες* fiunt soni acuti intentis et chordis et hominum nervis. 50. 56. 14.

τονίᾳ κινεῖται ταχὺ ὁ ἐν αὐτοῖς ἀήρ, καὶ τῷ διὰ στενοῦ τοῦ στόματος φέρεσθαι θᾶττον φέρεται· δι' ἄμφω οὖν ὀξεῖα γίνεται ἡ φωνή. οἱ δὲ γελῶντες ἀνέντες τὸν τόνον γελῶσι καὶ κεχηνότες. ἐκπέμποντες οὖν διὰ τοῦτ' εὐρέως καὶ βραδέως τὸν ἀέρα εἰκότως βαρυφωνοῦσιν. cf. 13. 50.

16. Διὰ τί οἱ ἄγονοι, οἷον παῖδες, γυναῖκες καὶ οἱ ἤδη γέροντες καὶ οἱ εὐνοῦχοι ὀξὺ φθέγγονται, οἱ δὲ ἄνδρες βαρύ; — Ἢ καθάπερ ἡ γραμμὴ καὶ τὰ ἄλλα λεπτὰ ἓν διάστημα ἔχει, τὰ δὲ παχέα πλείω, οὕτω καὶ ἡ λεπτὴ φωνὴ ἓν ἂν ἔχοι διάστημα. ῥᾷον δὲ καὶ ποιῆσαι καὶ κινῆσαί ἐστιν ἓν ἢ πλείω. ἐχόντων οὖν τῶν προειρημένων πνεῦμα ἀσθενὲς, κινεῖ αὐτῷ ἀέρα ὀλίγον. ἐλάχιστος δέ ἐστιν ὁ ἓν διάστημα ἔχων, ὃς ἔσται λεπτὸς διὰ τὰ προειρημένα. καὶ ἡ ἀπ' αὐτοῦ φωνὴ γινομένη τοιαύτη, ἡ δὲ λεπτὴ φωνὴ ὀξεῖά ἐστιν. οἱ μὲν οὖν ἄγονοι διὰ ταῦτα ὀξύφωνοί εἰσιν· οἱ δὲ ἄνδρες ἰσχύοντες τῷ πνεύματι πολὺν ἀέρα κινοῦσι, πολὺς δὲ ὢν βραδέως ἂν κινοῖτο καὶ βαρεῖαν φωνὴν

---

1 τῷ Y, τὸ CX. 2 σώματος X. φέρεται] φαίνεται C. 5 εὐρέος CY. βραδέος C. 10 οὕτω Bk, ὥστε codd. 14 ἐλάχιστον XY.

---

(1) διὰ τοῦ στενοῦ θᾶττον et κεχηνότος εὐρέως καὶ βραδέως· melius hoc explicatur in pr. 19. cf. 34. (aliud docetur 18. 61.) hoc pr. mutilum putat Richter de Ar. probl. 16. Pr. 16. διάστημα directio, quam hodie dicimus dimensionem. cf. 20. solent hi scriptores res ita coniunctas cogitare (cf. 13. 21. 34. 40. 53):

homo fortis	homo infirmus
multum aeris	paulum aeris
motus lentus	motus citatus
sonus gravis	sonus acutus.

multum aeris movereturne lente, quaesivimus in prooemio p. 46, de argumentandi ratione huic contraria v. ad 14. de boum voce v. 24. de problematis origine v. Richter 26.

ποιεῖ. ἐποίει γὰρ ἥ τε λεπτὴ καὶ ἡ ταχεῖα κίνησις ὀξεῖαν φωνήν, ὧν οὐδέτερον ἐπὶ τοῦ ἀνδρὸς συμβαίνει γίνεσθαι. cf. 14. 34. 62.

17. Διὰ τί αἱ φωναὶ βαρύτεραι ἡμῖν εἰσι τοῦ χειμῶνος; — Ἢ ὅτι παχύτερος ὁ ἀὴρ ἐστι τότε, καὶ ὁ ἐν ἡμῖν καὶ ὁ ἐκτός. παχυτέρου δὲ ὄντος βραδυτέρα ἡ κίνησις γίνεται, ὥστε ἡ φωνὴ βαρυτέρα. ἔτι ὑπνωτικώτεροί ἐσμεν τοῦ χειμῶνος ἢ τοῦ θέρους καὶ καθεύδομεν πλείω χρόνον, ἐκ δὲ τῶν ὕπνων βραδύτεροί ἐσμεν. ἐν ᾧ οὖν πλείονα χρόνον καθεύδομεν ἢ ἐγρηγόραμεν (οὗτος δέ ἐστιν ὁ χειμών), ἐν τούτῳ ἂν εἴημεν βαρυφωνότεροι ἢ ἐν ᾧ τοὐναντίον. τοῦ γὰρ μεταξὺ τῆς ἐγέρσεως ὄντος ὀλίγου χρόνου ἡ ἐν τῷ ὕπνῳ ἕξις γενομένη διαμένει πρὸς τὴν καθύπνωσιν. cf. 61.

18. Διὰ τί ἐκ τῶν πότων καὶ τῶν ἐμέτων καὶ ἐν τοῖς ψύχεσι βαρύτερον φθέγγονται; — Ἢ διὰ τὴν ἔμφραξιν τοῦ φάρυγγος τὴν γινομένην ὑπὸ τοῦ φλέγ-

---

6 βραδυτέρα Bk, βαρυτέρα codd. 9 βραδύτ. ego, βαρύτ. codd. 14 γινομένη Y. 18 λάρυγγος Par. 82.

Pr. 17. Aeris sonantis spissitate contineri sonorum gravitatem hic docetur ut pr. 32 (de audib. 804^{a9}). mirum autem est, quod in 32 aer comprimi et spissus fieri dicitur calore, hic (et 61 = Par. 94) frigore. de frigore gravitatis auctore v. ad 13^{b}. de hiemis vi contrarium dicitur pr. 56. Pr. 18. His habes similia in pr. 46 (ebriorum vox rumpitur = Par. 90), 12. 22 (sumpto cibo vox rumpitur), 11 (rauca fit vox obstructa arteria post vigilias). — de frigore v. ad 13^{b}. 32. — tuborum angustiis sonos remitti, non intendi (cf. 61), his quoque diebus physici docent. nam longitudine undarum, non crassitudine vel latitudine efficitur sonorum gradus. rectius igitur hic de tubis angustis iudicatur quam pr. 15. 19. 34.

ματος. ἐπικατασπᾷ γὰρ ῥευμάτιον εἰς αὐτόν, καὶ τοῖς μὲν ὁ ἔμετος ἢ ὁ πότος, τοῖς δ' ἡ ὥρα καὶ τὸ συμπλήρωμα στενώτερον ποιεῖ τὸν φάρυγγα, ὥστε βραδυτέρα γίνεται ἡ φορὰ τοῦ πνεύματος· ἡ δὲ βραδεῖα φορὰ βαρεῖαν ποιεῖ τὴν φωνήν. cf. Par. 82 (Us. IV 83).

19. Διὰ τί ἐγγύθεν μὲν ἡ βαρυτέρα μᾶλλον ἐξακούεται, πόῤῥωθεν δὲ ἧττον; — Ἢ διότι ἡ βαρυτέρα φωνὴ πλείω μὲν ἀέρα κινεῖ, οὐκ εἰς μῆκος δέ. πόῤῥωθεν μὲν οὖν ἧττον ἀκούομεν, διότι ἐπ' ἔλαττον κινεῖται, ἐγγύθεν δὲ μᾶλλον, διότι πλείων ἡμῖν ἀὴρ πρὸς τὸ αἰσθητήριον προσπίπτει. ἡ δὲ ὀξεῖα πόῤῥω ἀκούεται, ὅτι λεπτοτέρα ἐστί, τὸ δὲ λεπτὸν τὴν εἰς μῆκος αὔξησιν ἔχει. λέγοι δ' ἄν τις, ὅτι καὶ θάττων ἐστὶν ἡ ποιοῦσα αὐτὴν κίνησις. εἴη δ' ἂν τοῦτο, εἰ πυκνὸν μὲν, στενὸν δ' εἴη τὸ κινοῦν πνεῦμα τὸν ἀέρα. ὅ τε γὰρ ὀλίγος εὐκινητότερός ἐστιν ἀὴρ (κινεῖται γὰρ ὀλί-

---

1 εἰς αὐτὸν καὶ om. Par. καὶ Bk, om. cod. 4 γίνεται om. sed πν. ἐστιν Par. ἡ δὲ βρ. λίαν ἐστιν (om. rel.) Us. 83. ἡ δὲ βαρεῖα λίαν βραδεία ἐστιν Par. 5 φορὰ καὶ β. XY. 6 Διὰ τί ποτε ἐγγύθεν τῆς βαρυτέρας φωνῆς μᾶλλον ἐξακούομεν Par. 83. 7 διότι καὶ ἡ Par. 8 μὲν om. id. κινεῖ, ἐπ' ἔλαττον δὲ τοῦτο ποιεῖ Par. 9 κινεῖται] ἀφικνεῖται id. 10 πλείων τοῦ ἀέρος κίνησίς ἐστιν id. ita finitur. 11 πόῤῥωθεν X. 13 θάττων Bk, θᾶττον codd.

Pr. 19. Hi Peripatetici existimant acutos sonos longius proferri et e maiore spatio audiri quam graves (pr. 20. 47. Par. 83) 91. hoc et Theophrastus citat in lib. II de musica (Schneider V 191 § 5 fin. = Porphyrius ad Ptol. harm. 242 inf.) καὶ γὰρ, ὥς φασι, καὶ πορῥωτέρω ἀκούεται ὁ ὀξύτερος φθόγγος τῷ πορῥωτέρω διὰ τὴν τῆς κινήσεως ὀξύτητα (an ὠκύτητα?) διικνεῖσθαι. et paulo post ipse concedit: τὸ γὰρ ὀξύτερον φύσει ὂν ἐκδηλότερον, οὐκ ἰσχυρότερον, πορῥωτέρω ἀντιληπτέον ἐστὶ τοῦ βαρυτέρου κτλ. de acuminis gradu soni in longum spatium prolati v. 6 et 20. de tenuibus vel crassis chordis: de audib. 804a 16.

γος ὑπὸ τοῦ στενοῦ), καὶ τὸ πυκνὸν πλείους πληγὰς ποιεῖ, αἳ τὸν ψόφον ποιοῦσιν. ἰδεῖν δ' ἔστι τοῦτο ἐπὶ τῶν ὀργάνων· αἱ γὰρ λεπτότεραι χορδαὶ ὀξύτεραί εἰσι τῶν ἄλλων τῶν αὐτῶν ὑπαρχόντων αὐταῖς. = Par. 83 (Us. 84) cf. XI 47.

20. Διὰ τί ἡ φωνὴ ὀξυτέρα φαίνεται τοῖς μακρότερον ἀφεστηκόσι, τοῦ ὀξέος ὄντος ἐν τῷ ταχέως φέρεσθαι, τὸ δὲ μακροτέρῳ φερόμενον βραδύτερον κινεῖται; — Ἢ ὅτι ἡ ὀξύτης τῆς φωνῆς οὐ μόνον ἐστὶν ἐν τῷ ταχέως κινεῖσθαι, ἀλλὰ καὶ ἐν τῷ λεπτὸν τὸν ψόφον γίνεσθαι· τοῖς δὲ μακρότερον ἀφεστηκόσιν ἀεὶ λεπτοτέρα ἡ φωνὴ ἀφικνεῖται διὰ τὴν ὀλιγότητα τοῦ ἀέρος τοῦ κινουμένου. μαραίνεται γὰρ ἡ κίνησις, μαραινόμενος δὲ ὁ ἀριθμὸς μὲν εἰς τὸ ἓν τελευτᾷ, σῶμα δὲ εἰς διάστημα ἕν, ὃ ἐστιν ἐν σώματι λεπτότης· ὁμοίως δὲ καὶ ἐν φωνῇ. = Par. 92 (Us. 93) cf. XI 6.

21. Διὰ τί καὶ οἱ γεγυμνασμένοι καὶ οἱ ἀσθενεῖς ὀξὺ φθέγγονται; — Ἢ ὅτι οἱ μὲν ἀσθενεῖς ὀλίγον

---

6 μακροτέραν Bk (cf. lin. 8), μακρότερον C, Par. 92. μακροτέρω ἂν X, 8 μακροτέρω φερόμενον XBk, μακρότερον φερόμενον CY, μακρότερον Par. βραχύτερον XY. 9 ὅτι ἡ om. Par. et Useneri codd. 10 λεπτὸν τὸν ego, λεπτότατον CXY Bk. ἐλάττω τὸν Par. 11 μακρότερον C Par., μακροτέραν Y Bk, μακροτέρω X.

Pr. 20. Corpus ubi extenuatur, postremo in lineam comprimitur, cuius una est directio (διάστημα ἕν) cf. 16. hi autem Peripatetici non solum quaerunt, cur acuti soni in longius spatium proferantur (pr. 19. 47. Par. 91), sed etiam cur acutior fiat sonus in longinquum prolatus. haec quaestio haud scio an errore quodam orta sit (cum pro ἡ ὀξυτέρα φωνὴ φαίνεται aliquis legeret ἡ φωνὴ φαίνεται ὀξυτέρα); tamen hanc quoque summo studio illi tractant hic et in pr. 6. Pr. 21. De aperta hac sententiarum discrepantia v. ad 14, p. 64.

ἀέρα κινοῦσιν, ὁ δὲ ὀλίγος τοῦ πλείονος θᾶττον φέρεται. οἱ δὲ γεγυμνασμένοι ἰσχυρῶς κινοῦσι τὸν ἀέρα, ὁ δὲ ἰσχυρῶς κινούμενος ἀὴρ θᾶττον φέρεται. τὸ δὲ ταχὺ ἐν φορᾷ ἐν φωνῇ ὀξύ ἐστιν.

22. Διὰ τί τοῖς μετὰ τὰ σιτία κεκραγόσιν ἡ φωνὴ διαφθείρεται; καὶ πάντας ἂν ἴδοιμεν τοὺς φωνασκοῦντας οἷον ὑποκριτὰς καὶ χορευτὰς καὶ τοὺς ἄλλους τοὺς τοιούτους ἔωθέν τε καὶ νήστεις ὄντας τὰς μελέτας ποιουμένους. — Ἢ τὸ διαφθείρεσθαι τὴν φωνὴν οὐθὲν ἕτερόν ἐστιν ἢ τὸν τόπον διαφθείρεσθαι, καθ' ὃν τὸ πνεῦμα διεξέρχεται. διὸ καὶ οἱ βραγχιῶντες διαφθείρονται τὰς φωνάς, οὐ τῷ τὸ πνεῦμα γίνεσθαι χεῖρον ὃ ποιεῖ τὴν φωνήν, ἀλλὰ τῷ τετραχύνθαι τὴν ἀρτηρίαν. ὑπὸ δὲ τῆς θερμασίας τῆς σφοδρᾶς μάλιστα τραχύνεσθαι πέφυκεν ὁ τόπος οὗτος. διὸ καὶ οὔθ' οἱ πυρέττοντες οὔτε οἱ σφόδρα πεπυρεχότες εὐθὺς μετὰ τὴν ἄνεσιν τοῦ πυρετοῦ ᾄδειν δύνανται· τετράχυνται γὰρ ὁ φάρυγξ αὐτοῖς διὰ τὴν θερμασίαν. ἀπὸ δὲ τῶν σιτίων εἰκὸς εἶναι τὸ πνεῦμα καὶ πολὺ καὶ θερμόν. τὸ δὲ τοιοῦτον εὔλογόν ἐστι διεξιὸν ἑλκοῦν τε καὶ τραχύνειν τὴν ἀρτηρίαν· τούτου δὲ συμβαίνοντος εἰκότως ἡ φωνὴ διαφθείρεται.

23 = 51. (= Par. 93. = Us. 94.)

24. Διὰ τί τῶν μὲν ἄλλων ζῴων τὰ νέα καὶ νήπια ὀξύτερον φθέγγονται τῶν τελείων, οἱ δὲ μόσχοι βαρύ-

---

6 πάντας C, πάντες XY. φωνοῦντας C. 15 οὗτος ὁ. τ. inv. C. 16 οὔτε Bk, οὐδὲ codd.

Pr. 22. Vide alia huiusmodi 18 (Par. 82). calore contrahi dicitur humor, humore rumpi vox 12. de matutinis cantorum exercitationibus cf. 46. Pr. 24. Ar. historia an. V 14. generatio V 7, 6.

τερον τῶν τελείων βοῶν; — Ἢ ὅτι ἐν ἑκάστῳ γένει τὸ νήπιον ὅμοιόν ἐστι τῷ ἐν αὐτῷ θήλει· τῶν βοῶν δὲ αἱ θήλειαι βαρύτερον φθέγγονται τῶν ἀρρένων, οἱ δὲ μόσχοι ταύταις ὁμοιότεροί εἰσιν ἢ τοῖς ἄρρεσιν, τὰ δὲ ἄλλα τοὐναντίον.

27. Διὰ τί ποτε τῶν παιδίων ἔνια, πρὶν ἥκειν τὴν ἡλικίαν ἐν ᾗ σαφηνίζειν ὥρα αὐτοῖς, φθεγξάμενα καὶ σαφῶς εἰπόντα πάλιν ὁμοίως διάγουσιν . . .; . . . . πολλάκις δὲ καὶ μέλη καὶ ῥήματα ἐπέρχεται οὐκ ἐκ προαιρέσεως ἡμῖν· ἀλλ' ἐὰν τὸ πρῶτον προελόμενοι εἴπωμεν, ὕστερον ἄνευ προαιρέσεως λέγομεν ἢ ᾄδομεν . . .

31. Διὰ τί ἡ φωνὴ τρέμει καὶ τῶν ἀγωνιώντων καὶ τῶν δεδιότων; — Ἢ ὅτι σείεται ἡ καρδία τοῦ θερμοῦ ἐξιόντος, ἀμφοτεράκις δὲ πάσχουσι τοῦτο· καὶ γὰρ τοῖς ἀγωνιῶσι συμβαίνει καὶ τοῖς φοβουμένοις. σειομένης δὲ οὐ γίνεται μία ἡ πληγή, ἀλλὰ πλείους, ὥσπερ ἡ τῶν παρανενευρισμένων χορδῶν.

32. Διὰ τί οἱ μὲν ἀγωνιῶντες βαρὺ φθέγγονται, οἱ δὲ φοβούμενοι ὀξύ; — Ἢ ὅτι τοῖς μὲν φοβουμένοις καταψύχεται ὁ τόπος ὁ περὶ τὴν καρδίαν κάτω ὁρμῶντος τοῦ θερμοῦ, ὥστε ὀλίγον ἀέρα κινοῦσιν· ἡ γὰρ

---

11 ᾄδομεν Bk, οἴδαμεν codd.

Pr. 31. De voce tremula cf. 62. XXVII 1. 6. 7, de harum vocum acuminis gradu 32. 53. (17) χορδαὶ παρανενευρισμέναι quae in fila vel fibras dissolvuntur: hist. an. VII 1, 1. de audib. 804^{a3} ^{3n}. de problematis fonte disputat Richter p. 26. Pr. 32. ἀγωνιῶντες „trepidantes" Gz. qui inopia aliqua premuntur (pr. 36), veluti pudore vexati (pr. 53), horum soni graves dicuntur. contra qui anguntur et qui certamen sustinent voce uti dicuntur acuta pr. 31 et 62. (20) καταψύχεται· de gelu et sonorum acumine v. ad 13.

ἰσχὺς ἐν τῷ θερμῷ. τοῖς δὲ ἄνω φέρεται τὸ θερμὸν ὥσπερ τοῖς αἰσχυνομένοις· δι' αἰσχύνην γὰρ καὶ ἀγωνιῶσιν. τοῖς δὲ αἰσχυνομένοις ἄνω φέρεται πρὸς τὸ πρόσωπον· σημεῖον δέ, ὅτι ἐξέρυθροι γίνονται μᾶλλον. συντήκει οὖν καὶ παχὺν ποιεῖ τὸν ἀέρα ᾧ φθέγγονται· ὁ δὲ τοιοῦτος βραδέως ὠθεῖται· τὸ δὲ βραδὺ ἐν φωνῇ βαρύ ἐστιν. = Par. 88 (Us. 89) cf. XI 53.

34. *Διὰ τί οἱ ἄγονοι οἷον παῖδες καὶ γυναῖκες καὶ οἱ ἤδη γέροντες καὶ οἱ εὐνοῦχοι ὀξὺ φθέγγονται, οἱ δὲ ἄνδρες βαρύτερον; — Ἢ δι' ἀσθένειαν τοῦ κινοῦντος μορίου τὸν ἀέρα· ὀλίγον γὰρ τὸ ἀσθενὲς κινεῖ, ὁ δὲ ὀλίγος ταχὺ φέρεται, τὸ δὲ ταχὺ φερόμενον ὀξύ. ἢ διότι ὁ πόρος ὁ πρῶτος, δι' οὗ ἡ φωνὴ φέρεται, τοῖς μὲν ἀγόνοις μικρὸς ὥστε ὀλίγον ἐξ αὐτοῦ τὸ ὠθοῦν τὸν ἀέρα, ὀλίγος δὲ ὢν ταχὺ φέρεται δι' εὐρέος τοῦ ἄνω φάρυγγος. ἀκμάζουσι δὲ καὶ ἀνδρουμένοις διίσταται οὗτος, ὥσπερ καὶ ἐπὶ τοὺς ὄρχεις, ὥστε καὶ πλείων ἐστὶν ὁ ὠθούμενος. βραδύτερον οὖν διιὼν βαρὺς γίνεται.* cf. 14. 16. 24.

40. *Διά τί τὰ μὲν ἄλλα ὀξύτερον φθέγγεται σφοδρότερα ὄντα, ὁ δὲ ἄνθρωπος ἀσθενῶν; — Ἢ διότι*

---

2 *αἰσχύνης* Par. *καὶ* X, om. CY Par. 5 *φθέγγεται* Y, Par. 10 *ἢ* Bk, om. codd. 18 *βραδύτερον*] *βαρύτερον* X. 20 *φθέγγονται* C.

---

(1) *κάτω ὑποφεύγει τὸ θερμόν* partes animal. II 7 p. 653ª 15. de aeris paucitate acuminis effectrice ad 14. de aere conspissato 17. 61. Pr. 34. vide ad 14. (10) *τὸ κινοῦν μόριον* Ar. generatio V 7, 6. 7. (15) *εὐρέος* cur puerorum arteria in superiore parte larga putetur, nescio. (17) *οὗτος* certe non ad hanc partem, sed ad *πόρος ὁ πρῶτος* referendum.

ἐλάττω κινεῖ ἀέρα, οὗτος δὲ ταχὺ διέρχεται, τὸ δὲ ταχὺ ὀξὺν ποιεῖ τὸν ψόφον.

42. Διὰ τί θᾶττον μὲν ψοφοῦσι καὶ πηδῶσιν οἱ μικροὶ ἅλες, μείζω δὲ ψοφοῦσι καὶ πηδῶσιν οἱ μεγάλοι; — Ἢ διότι οἱ μὲν ταχὺ σχίζονται (οὐ γὰρ πολὺ ὃ δεῖ διελθεῖν τῷ πυρί) διὰ τὴν μικρότητα, οἱ δὲ βραδέως· μεῖζον γὰρ ἔργον τὸ μεῖζον διασχίσαι ἢ τὸ μικρόν. ψοφεῖ δὲ ὁ μὲν μικρὸς μικρόν, ἡ γὰρ πληγὴ μικρά, ὁ δὲ μείζων μεγάλα, μεγάλη γὰρ ἡ πληγή. ὁ δὲ ψόφος πληγή ἐστιν. καὶ πηδᾷ δὲ μᾶλλον τὸ ἰσχυρότερον, ἂν πληγῇ· ἧττον γὰρ ἐνδίδωσιν.

46. Διὰ τί μεθυόντων μᾶλλον ἀποῤῥήγνυνται ἡ φωνὴ ἢ νηφόντων; — Ἢ διὰ τὸ πεπληρῶσθαι ταχέως ἀποῤῥηγνύασι τὴν φωνήν. σημεῖον δὲ τούτου· οὔτε γὰρ οἱ χοροὶ μελετῶσιν ἐξ ἀρίστου οὔτε οἱ ὑποκριταὶ, ἀλλὰ νήστεις ὄντες. ἐν δὲ τῇ μέθῃ πληρέστεροι ὄντες εὐλόγως μᾶλλον ἀποῤῥήγνυνται τὰς φωνάς. = Par. 90 (Us. 91).

47. Διὰ τί ποτε τῶν ὀξυτέρων φωνῶν ποῤῥώτερον ἀκούουσιν; — Ἢ διότι τὸ ὀξὺ ἐν φωνῇ ταχύ ἐστι, θᾶττον δὲ κινεῖται τὰ βίᾳ μᾶλλον φερόμενα, τὰ δὲ σφοδρότερον φερόμενα ἐπὶ πλέον φέρεται. cf. 19.

---

1 παχύ X. 3 ψοφῶσι XY. 13 διὰ τὸ] διότι τῷ Y. Par. 14 ἀποῤῥήγνυσι codd. (et Par. Us.) ἀπορρηγνῦσι Us.

Pr. 46. Potione sumpta vox in grave deprimitur pr. 36, rumpitur pr. 22 (cf. 12). quid sit ἀποῤῥήγνυσθαι τὴν φωνήν exponitur de audib. 804^{b} $^{11-20}$. cf. XIX 3. de hora optima canendi et exercendi pr. 22.

50. *Διὰ τί ποτε οἱ μὲν γελῶντες βαρὺ φθέγγονται, οἱ δὲ κλαίοντες ὀξύ; — Ἢ διότι ἀπὸ τῶν συντόνων ὀξεῖα ἡ φωνή, τὸ δὲ ὀξύ ἐστιν ἀσθενές· ἄμφω δὲ ταῦτα μᾶλλον τοῖς κλαίουσιν ὑπάρχει· καὶ γὰρ συντέτανται μᾶλλον οἱ κλαίοντες καὶ ἀσθενέστεροί εἰσιν.* cf. 13. 15.

51. *Διὰ τί, εἴπερ ἡ φωνὴ ἀήρ τις ἐσχηματισμένος ἐστί, φερομένη διαλύεται πολλάκις τὸ σχῆμα, ἡ δὲ ἠχώ, ἢ γίνεται πληγέντος τοῦ τοιούτου πρός τι στερεόν, οὐ διαλύεται, ἀλλὰ σαφῶς ἀκούομεν; — Ἢ διότι ἀνάκλασίς ἐστιν, οὐ κατάκλασις· τοῦτο δὲ ὅλον ἀφ' ὅλου. εἶτα τὸ πάθος ἀφ' ὁμοίου· ἀπὸ γὰρ τοῦ ἀέρος ἀνακλᾶται ἐν τῷ κοίλῳ, οὐκ ἀπὸ τοῦ κοίλου.* = Par. 93 (Us. 94) cf. XI 23.

---

6 *φωνή ἐστιν ἀήρ* pr. 23. *τίς ἐστιν* Par. 93. 7 *καὶ φερ.* Par. *καὶ φερόμενος* pr. 23. *ἡ ἠχὼ γίν.* Par. et codd. 23. 9 *διαλ. αὖτη* pr. 23. *ὅτι* 23. 10 *ἐ. ἀλλ' οὐ* 23. *ἀ. οὐ κ. ἐστιν* Par. post *κατάκλασις* pergit 23: *οὕτω δὲ τό θ' ὅλον διαμένει, καὶ δύο μέρη ὁμοιοσχήμονα ἐξ αὐτοῦ γίνεται· πρὸς ὁμοίαν γὰρ γωνίαν ἐστὶν ἡ ἀνάκλασις· διὸ καὶ ὁμοία γίνεται ἡ τῆς ἠχοῦς φωνὴ τῇ ἐξ ἀρχῆς.* 11 *π. ἀφομοιοῦται* Par. *ἀνακλ. τοῦ ἐν* id.

Pr. 51. Vocem esse aerem conformatum, hoc quidam docuisse dicuntur ab auctore *περὶ ἀκουστῶν* init. hoc et Stratonem improbasse non minus quam illum auctorem accepimus ab Alexandro Aphrod. comment. in Arist. de sensu p. 117. nomina tamen illorum qui talia docebant ignoramus. Ar. quidem docuisse non videtur, cuius cum habeamus duas definitiones (de anima II 8 § 5 et 11, — tertia quaedam exstat in pr. XIX 35 fin.), nihil invenimus de aere conformato. Crebra sunt de repercussa vocis imagine problemata 7. 8. 9. 45 fin. (etiam 6 et fortasse XIX 11) et optime sonus reddi dicitur e corporibus cavis (ut e lyrae testudine) 8. 9. ipso tamen aere (ut hoc loco) sonus repelli dicitur ab Ar. anima II 8, 4 cf. Trendelenburg p. 312. lucem fractam et redditam comparat Peripateticus pr. 23. 45, ut ipse magister l. l.

53. *Διὰ τί ἀγωνιῶντες μὲν βαρύτερον φθέγγονται, φοβούμενοι δὲ ὀξύτερον; καίτοι καὶ ἡ αἰδὼς φόβος τίς ἐστιν. — Ἢ διαφέρει πολὺ τὸ πάθος. οἱ μὲν γὰρ αἰδούμενοι ἐρυθριῶσιν (ἡ δὲ ἀγωνία αἰσχύνη τίς ἐστιν), οἱ δὲ φοβούμενοι ὠχριῶσιν. φανερὸν οὖν, ὅτι τοῖς μὲν φοβουμένοις ἐκλείπει ἄνωθεν τὸ θερμόν, ὥστε κινεῖ ἀσθενὲς ὂν ὀλίγον ἀέρα τὸ πνεῦμα, τὸ δὲ ὀλίγον ταχὺ φέρεται, τὸ δὲ ταχὺ ἐν φωνῇ τὸ ὀξύ. τοῖς δὲ αἰδουμένοις ἄνω ἔρχεται τὸ θερμὸν περὶ τὰ στήθη· σημεῖον δὲ, ὅτι γίνονται ἐξέρυθροι. πολὺν δὲ κινεῖ ἀέρα ἡ πολλὴ δύναμις, τὸ δὲ πολὺ βραδέως φέρεται, τὸ δὲ βραδὺ ἐν φωνῇ βαρύ.* cf. 32.

56. *Διὰ τί τοῦ μὲν χειμῶνος ὀξύτερον φθέγγονται καὶ νήφοντες, θέρους δὲ καὶ μεθύοντες βαρύτερον; — Ἢ ὅτι ὀξυτέρα μέν ἐστιν ἡ ταχυτέρα, ταχυτέρα δέ ἐστιν ἡ ἀπὸ συντεταμένου φωνή. τῶν δὲ νηφόντων καὶ ἐν τῷ χειμῶνι τὰ σώματα συνέστηκε μᾶλλον ἢ μεθυόντων καὶ ἐν τῷ θέρει· τὸ γὰρ θερμὸν καὶ αἱ ἀλέαι διαλύουσι τὰ σώματα.* cf. Par. 84 (Us. 85).

59. *Διὰ τί γίνεται ἐλάττων μὲν ἡ φωνὴ ἐξαιρουμένων, ὁμοία δὲ τὸν χαρακτῆρα; — Ἢ ὅτι ἐμέμικτο*

---

2 *καὶ* om. C. 13 *ἐν τῷ χειμῶνι* Par. 84. 14 *καὶ νήφοντες* om. X Par. *τοῦ δὲ θέρους* X. 15/16 *ἐστιν ἡ ταχ. ἢ ἀπὸ σ.* Par. 17 *μᾶλλον*] *μάλιστα* Par.

Pr. 56. De frigoris et caloris effectu vide ad 13. Pr. 59. Cogitat sonum multis vocibus effectum. „Cur demptis vocibus nonnullis servat acuminis gradum?“ quod si multitudo aeris propulsi sonorum efficit gravitatem (pr. 21. 40. 53. annot. ad 14), minuto canentium numero sonus oportebat intendi. quam difficultatem solvere Peripatetici isti minime potuerunt. cf. ad V 2.

αὐτοῖς, τὸ δὲ μεμιγμένον οὐ τῇ μέν ἐστι, τῇ δὲ οὔ, ἀλλὰ πάντῃ. ὁμοίως οὖν πανταχόθεν ἐξαιρουμένων συνέχεται ὁμοίως, ὥστ' ἔλαττόν τε ἀνάγκη καὶ ὅμοιον εἶναι.

61. Διὰ τί τοῦ χειμῶνος αἱ φωναὶ βαρύτεραι; — Ἢ ὅτι παχύτερος ὁ ἀὴρ, παχυτέρου δὲ ὄντος βραδυτέρα ἡ κίνησις, ὥσθ' ἡ φωνὴ βαρυτέρα. — ἢ διότι διὰ τῶν στενῶν βραδύτερον χωρεῖ ὁ ἀήρ, συμφράττεται δὲ τὸ περὶ τὸν φάρυγγα ὑπό τε τοῦ ψυχροῦ καὶ τοῦ ἐπιῤῥέοντος φλέγματος. = Par. 94 (Us. 95) cf. XI 17.

62ª. Διὰ τί τὰ παιδία καὶ αἱ γυναῖκες καὶ οἱ εὐνοῦχοι καὶ οἱ γέροντες φθέγγονται ὀξύ; — Ἢ ὅτι θάττων κίνησίς ἐστιν ἡ ὀξυτέρα. ἔστι δὲ τὸ αὐτὸ * πλείονος δυσκινητότερον, ὥστε οἱ ἐν ἀκμῇ πλείω συνεπισπῶνται τὸν ἀέρα· οὗτος οὖν βραδύτερον ἰὼν βαρυτέραν παρασκευάζει τὴν φωνήν. ἐν δὲ τοῖς παιδίοις καὶ εὐνούχοις διὰ τὸ ἐλάττω ἔχειν ἐναντίως. cf. 14.

62ᵇ. Τρέμειν δὲ τοὺς πρεσβύτας οὐ δυναμένους κρατεῖν, ὥσπερ τοῖς ἀδυνάτοις καὶ παιδίοις, ὅταν μακρὸν ξύλον λάβωσιν ἀπ' ἄκρου, τὸ ἕτερον ἄκρον σείεται διὰ τὸ μὴ κρατεῖν. διὰ τοῦτο καὶ οἱ πρεσβῦται

---

5 τί χειμῶνος ὄντος Par. 94. 8 στενῶν Par. στέρνων hic codd. et Bk. cf. 18. 9 τὸ] τὰ Par. φάρ. τῇ ποιότητι τοῦ ψ. Par. 13 ἡ om. CY. 15 βραδύτερος CX. 16 βαρυτέραν Bk, βραδυτέραν codd.

Pr. 61. De tuborum angustorum sonis v. ad 18. de frigore ad 13. de spisso aere 17. 32. Pr. 62ª. ἔστι δὲ τὸ αὐτὸ „idem difficilius novet maiorem copiam" Bs. „et cum genus idem sit, motu facilius est quod minus quam quod plus est." Gz. cum de viris disputetur, haud scio an scribam τοῦ αὐτοῦ πλεῖον δυσκ.
Pr. 62ᵇ. de voce tremula cf. pr. 31. de anxiis pr. 32 (53). 36.

τρέμουσιν. τὸ αὐτὸ δὲ ὑποληπτέον καὶ ἐπὶ τῶν ἀγωνιώντων καὶ φοβουμένων καὶ ῥιγώντων αἴτιον τοῦ τρόμου τῆς φωνῆς. τοῦ γὰρ ἔχοντος τὴν φωνὴν τοιαύτην, τῶν τοιούτων παθῶν εἴσω περιεστηκότος τοῦ πλείστου, λοιπὸν ὀλίγον ὃν οὐ δύναται κρατεῖν τῆς φωνῆς, διὸ καὶ σείεται καὶ τρέμει. διὸ καὶ οἱ τεχνικοὶ τῶν συνειδότων ὅτι ἀγωνιῶσι μικρὸν διαλέγονται ἀπ' ἀρχῆς, καὶ ἄχρι οὗ ἂν καταστῶσιν· μικρᾶς γὰρ οὔσης τῆς φωνῆς ῥᾷον κρατοῦσιν.

ΙΘ. Ὅσα περὶ ἁρμονίαν.

1. Διὰ τί οἱ πονοῦντες καὶ οἱ ἀπολαύοντες αὐλοῦνται; — Ἢ ἵνα οἱ μὲν ἧττον λυπῶνται, οἱ δὲ μᾶλλον χαίρωσιν.

2. Διὰ τί ποῤῥωτέρω ὁ αὐτὸς τῇ αὐτῇ φωνῇ γεγωνεῖ μετ' ἄλλων ᾀδων καὶ βοῶν ἢ μόνος; — Ἢ ὅτι τὸ ἀθρόως τι ποιεῖν ἢ θλίβειν ἢ ὠθεῖν οὐ τοσαυταπλάσιόν ἐστιν ὅσος ὁ ἀριθμός· ἀλλ' ὥσπερ ἡ γραμμὴ ἡ δίπους οὐ διπλάσιον ἀλλὰ τετραπλάσιόν τι γράφει, οὕτω τὰ συντιθέμενα πλέον ἰσχύει κατὰ τὸν ἀριθμὸν ἢ ὅταν ᾖ διῃρημένα. ἀθρόων οὖν ὄντων μία γίνεται

1 τρέμουσιν διὰ τὸ μὴ κρατεῖν Y. 16 τοσαυταπλάσιον Bk, τοσαυταπλήσιον codd.

(3) τοῦ γὰρ ἔχοντος „cum in huius modi affectibus intro compellitur maxima pars, qui reliquus est spiritus quippe exiguus voce superior evadere non potest". Bs. „pulsus ab affectibus illis intro se colligat maxima ex parte, reliquum, quod exiguum exstat, vocem continere non potest." Gz.

XIX 2. Non additionis modo (3 + 3 = 6) ait vocum ictus ictibus adnumerari, sed ut in numerorum ratione factor factorem multiplicet (3 · 3 = 9), ita clamantium vocem augeri et multiplicari. res lepidius dicta quam verius. simile aliquid quaeritur, alia autem videtur auctoris sententia XI 52.

ματος. ἐπικατασπᾷ γὰρ ῥευμάτιον εἰς αὐτόν, καὶ τοῖς μὲν ὁ ἔμετος ἢ ὁ πότος, τοῖς δ' ἡ ὥρα καὶ τὸ συμπλήρωμα στενώτερον ποιεῖ τὸν φάρυγγα, ὥστε βραδυτέρα γίνεται ἡ φορὰ τοῦ πνεύματος· ἡ δὲ βραδεῖα φορὰ βαρεῖαν ποιεῖ τὴν φωνήν. cf. Par. 82 (Us. IV 83).

19. Διὰ τί ἐγγύθεν μὲν ἡ βαρυτέρα μᾶλλον ἐξακούεται, πόῤῥωθεν δὲ ἧττον; — Ἢ διότι ἡ βαρυτέρα φωνὴ πλείω μὲν ἀέρα κινεῖ, οὐκ εἰς μῆκος δέ. πόῤῥωθεν μὲν οὖν ἧττον ἀκούομεν, διότι ἐπ' ἔλαττον κινεῖται, ἐγγύθεν δὲ μᾶλλον, διότι πλείων ἡμῖν ἀὴρ πρὸς τὸ αἰσθητήριον προσπίπτει. ἡ δὲ ὀξεῖα πόῤῥω ἀκούεται, ὅτι λεπτοτέρα ἐστί, τὸ δὲ λεπτὸν τὴν εἰς μῆκος αὔξησιν ἔχει. λέγοι δ' ἄν τις, ὅτι καὶ θάττων ἐστὶν ἡ ποιοῦσα αὐτὴν κίνησις. εἴη δ' ἂν τοῦτο, εἰ πυκνὸν μὲν, στενὸν δ' εἴη τὸ κινοῦν πνεῦμα τὸν ἀέρα. ὅ τε γὰρ ὀλίγος εὐκινητότερός ἐστιν ἀὴρ (κινεῖται γὰρ ὀλί-

---

1 εἰς αὐτὸν καὶ om. Par. καὶ Bk, om. cod. 4 γίνεται om. sed πν. ἐστιν Par. ἡ δὲ βρ. λίαν ἐστιν (om. rel.) Us. 83. ἡ δὲ βαρεῖα λίαν βραδεὶά ἐστιν Par. 5 φορὰ καὶ β. XY. 6 Διὰ τί ποτε ἐγγύθεν τῆς βαρυτέρας φωνῆς μᾶλλον ἐξακούομεν Par. 83. 7 διότι καὶ ἡ Par. 8 μὲν om. id. κινεῖ, ἐπ' ἔλαττον δὲ τοῦτο ποιεῖ Par. 9 κινεῖται] ἀφικνεῖται id. 10 πλείων τοῦ ἀέρος κίνησίς ἐστιν id. ita finitur. 11 πόῤῥωθεν X. 13 θάττων Bk, θᾶττον codd.

Pr. 19. Hi Peripatetici existimant acutos sonos longius proferri et e maiore spatio audiri quam graves (pr. 20. 47. Par. 83) 91. hoc et Theophrastus citat in lib. II de musica (Schneider V 191 § 5 fin. = Porphyrius ad Ptol. harm. 242 inf.) καὶ γὰρ, ὥς φασι, καὶ πορῤῥωτέρω ἀκούεται ὁ ὀξύτερος φθόγγος τῷ πορῤῥωτέρω διὰ τὴν τῆς κινήσεως ὀξύτητα (an ὠκύτητα?) διικνεῖσθαι. et paulo post ipse concedit: τὸ γὰρ ὀξύτερον φύσει ὂν ἐκδηλότερον, οὐκ ἰσχυρότερον, πορῤῥωτέρω ἀντιληπτέον ἐστὶ τοῦ βαρυτέρου κτλ. de acuminis gradu soni in longum spatium prolati v. 6 et 20. de tenuibus vel crassis chordis: de audib. 804a 16.

γος ὑπὸ τοῦ στενοῦ), καὶ τὸ πυκνὸν πλείους πληγὰς ποιεῖ, αἳ τὸν ψόφον ποιοῦσιν. ἰδεῖν δ' ἔστι τοῦτο ἐπὶ τῶν ὀργάνων· αἱ γὰρ λεπτότεραι χορδαὶ ὀξύτεραί εἰσι τῶν ἄλλων τῶν αὐτῶν ὑπαρχόντων αὐταῖς. = Par. 83 (Us. 84) cf. XI 47.

20. Διὰ τί ἡ φωνὴ ὀξυτέρα φαίνεται τοῖς μακρότερον ἀφεστηκόσι, τοῦ ὀξέος ὄντος ἐν τῷ ταχέως φέρεσθαι, τὸ δὲ μακροτέρῳ φερόμενον βραδύτερον κινεῖται; — Ἢ ὅτι ἡ ὀξύτης τῆς φωνῆς οὐ μόνον ἐστὶν ἐν τῷ ταχέως κινεῖσθαι, ἀλλὰ καὶ ἐν τῷ λεπτὸν τὸν ψόφον γίνεσθαι· τοῖς δὲ μακρότερον ἀφεστηκόσιν ἀεὶ λεπτοτέρα ἡ φωνὴ ἀφικνεῖται διὰ τὴν ὀλιγότητα τοῦ ἀέρος τοῦ κινουμένου. μαραίνεται γὰρ ἡ κίνησις, μαραινόμενος δὲ ὁ ἀριθμὸς μὲν εἰς τὸ ἓν τελευτᾷ, σῶμα δὲ εἰς διάστημα ἕν, ὅ ἐστιν ἐν σώματι λεπτότης· ὁμοίως δὲ καὶ ἐν φωνῇ. = Par. 92 (Us. 93) cf. XI 6.

21. Διὰ τί καὶ οἱ γεγυμνασμένοι καὶ οἱ ἀσθενεῖς ὀξὺ φθέγγονται; — Ἢ ὅτι οἱ μὲν ἀσθενεῖς ὀλίγον

---

6 μακροτέραν Bk (cf. lin. 8), μακρότερον C, Par. 92. μακροτέρω ἂν X, 8 μακροτέρω φερόμενον XBk, μακρότερον φερόμενον CY, μακρότερον Par. βραχύτερον XY. 9 ὅτι ἡ om. Par. et Useneri codd. 10 λεπτὸν τὸν ego, λεπτότατον CXY Bk. ἐλάττω τὸν Par. 11 μακρότερον C Par., μακροτέραν Y Bk, μακροτέρω X.

Pr. 20. Corpus ubi extenuatur, postremo in lineam comprimitur, cuius una est directio (διάστημα ἕν) cf. 16. hi autem Peripatetici non solum quaerunt, cur acuti soni in longius spatium proferantur (pr. 19. 47. Par. 91), sed etiam cur acutior fiat sonus in longinquum prolatus. haec quaestio haud scio an errore quodam orta sit (cum pro ἡ ὀξυτέρα φωνὴ φαίνεται aliquis legeret ἡ φωνὴ φαίνεται ὀξυτέρα); tamen hanc quoque summo studio illi tractant hic et in pr. 6. Pr. 21. De aperta hac sententiarum discrepantia v. ad 14, p. 64.

ἀέρα κινοῦσιν, ὁ δὲ ὀλίγος τοῦ πλείονος θᾶττον φέρεται. οἱ δὲ γεγυμνασμένοι ἰσχυρῶς κινοῦσι τὸν ἀέρα, ὁ δὲ ἰσχυρῶς κινούμενος ἀὴρ θᾶττον φέρεται. τὸ δὲ ταχὺ ἐν φορᾷ ἐν φωνῇ ὀξύ ἐστιν.

22. Διὰ τί τοῖς μετὰ τὰ σιτία κεκραγόσιν ἡ φωνὴ διαφθείρεται; καὶ πάντας ἂν ἴδοιμεν τοὺς φωνασκοῦντας οἷον ὑποκριτὰς καὶ χορευτὰς καὶ τοὺς ἄλλους τοὺς τοιούτους ἔωθέν τε καὶ νήστεις ὄντας τὰς μελέτας ποιουμένους. — Ἢ τὸ διαφθείρεσθαι τὴν φωνὴν οὐθὲν ἕτερόν ἐστιν ἢ τὸν τόπον διαφθείρεσθαι, καθ' ὃν τὸ πνεῦμα διεξέρχεται. διὸ καὶ οἱ βραγχιῶντες διαφθείρονται τὰς φωνάς, οὐ τῷ τὸ πνεῦμα γίνεσθαι χεῖρον ὃ ποιεῖ τὴν φωνήν, ἀλλὰ τῷ τετραχύνθαι τὴν ἀρτηρίαν. ὑπὸ δὲ τῆς θερμασίας τῆς σφοδρᾶς μάλιστα τραχύνεσθαι πέφυκεν ὁ τόπος οὗτος. διὸ καὶ οὔθ' οἱ πυρέττοντες οὔτε οἱ σφόδρα πεπυρεχότες εὐθὺς μετὰ τὴν ἄνεσιν τοῦ πυρετοῦ ᾄδειν δύνανται· τετράχυνται γὰρ ὁ φάρυγξ αὐτοῖς διὰ τὴν θερμασίαν. ἀπὸ δὲ τῶν σιτίων εἰκὸς εἶναι τὸ πνεῦμα καὶ πολὺ καὶ θερμόν. τὸ δὲ τοιοῦτον εὔλογόν ἐστι διεξιὸν ἑλκοῦν τε καὶ τραχύνειν τὴν ἀρτηρίαν· τούτου δὲ συμβαίνοντος εἰκότως ἡ φωνὴ διαφθείρεται.

23 = 51. (= Par. 93. = Us. 94.)

24. Διὰ τί τῶν μὲν ἄλλων ζῴων τὰ νέα καὶ νήπια ὀξύτερον φθέγγονται τῶν τελείων, οἱ δὲ μόσχοι βαρύ-

---

6 πάντας C, πάντες XY. φωνοῦντας C. 15 οὗτος ὁ. τ. inv. C. 16 οὔτε Bk, οὐδὲ codd.

Pr. 22. Vide alia huiusmodi 18 (Par. 82). calore contrahi dicitur humor, humore rumpi vox 12. de matutinis cantorum exercitationibus cf. 46. Pr. 24. Ar. historia an. V 14. generatio V 7, 6.

τερον τῶν τελείων βοῶν; — Ἢ ὅτι ἐν ἑκάστῳ γένει τὸ νήπιον ὅμοιόν ἐστι τῷ ἐν αὐτῷ θήλει· τῶν βοῶν δὲ αἱ θήλειαι βαρύτερον φθέγγονται τῶν ἀῤῥένων, οἱ δὲ μόσχοι ταύταις ὁμοιότεροί εἰσιν ἢ τοῖς ἄῤῥεσιν, τὰ δὲ ἄλλα τοὐναντίον.

27. Διὰ τί ποτε τῶν παιδίων ἔνια, πρὶν ἥκειν τὴν ἡλικίαν ἐν ᾗ σαφηνίζειν ὥρα αὐτοῖς, φθεγξάμενα καὶ σαφῶς εἰπόντα πάλιν ὁμοίως διάγουσιν . . .; . . . . πολλάκις δὲ καὶ μέλη καὶ ῥήματα ἐπέρχεται οὐκ ἐκ προαιρέσεως ἡμῖν· ἀλλ' ἐὰν τὸ πρῶτον προελόμενοι εἴπωμεν, ὕστερον ἄνευ προαιρέσεως λέγομεν ἢ ᾄδομεν . . .

31. Διὰ τί ἡ φωνὴ τρέμει καὶ τῶν ἀγωνιώντων καὶ τῶν δεδιότων; — Ἢ ὅτι σείεται ἡ καρδία τοῦ θερμοῦ ἐξιόντος, ἀμφοτεράκις δὲ πάσχουσι τοῦτο· καὶ γὰρ τοῖς ἀγωνιῶσι συμβαίνει καὶ τοῖς φοβουμένοις. σειομένης δὲ οὐ γίνεται μία ἡ πληγή, ἀλλὰ πλείους, ὥσπερ ἡ τῶν παρανενευρισμένων χορδῶν.

32. Διὰ τί οἱ μὲν ἀγωνιῶντες βαρὺ φθέγγονται, οἱ δὲ φοβούμενοι ὀξύ; — Ἢ ὅτι τοῖς μὲν φοβουμένοις καταψύχεται ὁ τόπος ὁ περὶ τὴν καρδίαν κάτω ὁρμῶντος τοῦ θερμοῦ, ὥστε ὀλίγον ἀέρα κινοῦσιν· ἡ γὰρ

---

11 ᾄδομεν Bk, οἴδαμεν codd.

Pr. 31. De voce tremula cf. 62. XXVII 1. 6. 7, de harum vocum acuminis gradu 32. 53. (17) χορδαὶ παρανενευρισμέναι quae in fila vel fibras dissolvuntur: hist. an. VII 1, 1. de audib. 804ª 3ⁿ. de problematis fonte disputat Richter p. 26. Pr. 32. ἀγωνιῶντες „trepidantes" Gz. qui inopia aliqua premuntur (pr. 36), veluti pudore vexati (pr. 53), horum soni graves dicuntur. contra qui anguntur et qui certamen sustinent voce uti dicuntur acuta pr. 31 et 62. (20) καταψύχεται· de gelu et sonorum acumine v. ad 13.

ἰσχὺς ἐν τῷ θερμῷ. τοῖς δὲ ἄνω φέρεται τὸ θερμὸν ὥσπερ τοῖς αἰσχυνομένοις· δι' αἰσχύνην γὰρ καὶ ἀγωνιῶσιν. τοῖς δὲ αἰσχυνομένοις ἄνω φέρεται πρὸς τὸ πρόσωπον· σημεῖον δὲ, ὅτι ἐξέρυθροι γίνονται μᾶλλον. συντήκει οὖν καὶ παχὺν ποιεῖ τὸν ἀέρα ᾧ φθέγγονται· ὁ δὲ τοιοῦτος βραδέως ὠθεῖται· τὸ δὲ βραδὺ ἐν φωνῇ βαρύ ἐστιν. = Par. 88 (Us. 89) cf. XI 53.

34. *Διὰ τί οἱ ἄγονοι οἷον παῖδες καὶ γυναῖκες καὶ οἱ ἤδη γέροντες καὶ οἱ εὐνοῦχοι ὀξὺ φθέγγονται, οἱ δὲ ἄνδρες βαρύτερον; — Ἢ δι' ἀσθένειαν τοῦ κινοῦντος μορίου τὸν ἀέρα· ὀλίγον γὰρ τὸ ἀσθενὲς κινεῖ, ὁ δὲ ὀλίγος ταχὺ φέρεται, τὸ δὲ ταχὺ φερόμενον ὀξύ. ἢ διότι ὁ πόρος ὁ πρῶτος, δι' οὗ ἡ φωνὴ φέρεται, τοῖς μὲν ἀγόνοις μικρὸς ὥστε ὀλίγον ἐξ αὐτοῦ τὸ ὠθοῦν τὸν ἀέρα, ὀλίγος δὲ ὢν ταχὺ φέρεται δι' εὐρέος τοῦ ἄνω φάρυγγος. ἀκμάζουσι δὲ καὶ ἀνδρουμένοις διίσταται οὗτος, ὥσπερ καὶ ἐπὶ τοὺς ὄρχεις, ὥστε καὶ πλείων ἐστὶν ὁ ὠθούμενος. βραδύτερον οὖν διιὼν βαρὺς γίνεται.* cf. 14. 16. 24.

40. *Διά τί τὰ μὲν ἄλλα ὀξύτερον φθέγγεται σφοδρότερα ὄντα, ὁ δὲ ἄνθρωπος ἀσθενῶν; — Ἢ διότι*

---

2 *αἰσχύνης* Par. *καὶ* X, om. CY Par. 5 *φθέγγεται* Y, Par. 10 *ἢ* Bk, om. codd. 18 *βραδύτερον*] *βαρύτερον* X. 20 *φθέγγονται* C.

---

(1) *κάτω ὑποφεύγει τὸ θερμόν* partes animal. II 7 p. 653^{a} 15. de aeris paucitate acuminis effectrice ad 14. de aere conspissato 17. 61. Pr. 34. vide ad 14. (10) *τὸ κινοῦν μόριον* Ar. generatio V 7, 6. 7. (15) *εὐρέος* cur puerorum arteria in superiore parte larga putetur, nescio. (17) *οὗτος* certe non ad hanc partem, sed ad *πόρος ὁ πρῶτος* referendum.

ἐλάττω κινεῖ ἀέρα, οὗτος δὲ ταχὺ διέρχεται, τὸ δὲ ταχὺ ὀξὺν ποιεῖ τὸν ψόφον.

42. Διὰ τί θᾶττον μὲν ψοφοῦσι καὶ πηδῶσιν οἱ μικροὶ ἅλες, μείζω δὲ ψοφοῦσι καὶ πηδῶσιν οἱ μεγάλοι; — Ἢ διότι οἱ μὲν ταχὺ σχίζονται (οὐ γὰρ πολὺ ὃ δεῖ διελθεῖν τῷ πυρί) διὰ τὴν μικρότητα, οἱ δὲ βραδέως· μεῖζον γὰρ ἔργον τὸ μεῖζον διασχίσαι ἢ τὸ μικρόν. ψοφεῖ δὲ ὁ μὲν μικρὸς μικρόν, ἡ γὰρ πληγὴ μικρά, ὁ δὲ μείζων μεγάλα, μεγάλη γὰρ ἡ πληγή. ὁ δὲ ψόφος πληγή ἐστιν. καὶ πηδᾷ δὲ μᾶλλον τὸ ἰσχυρότερον, ἂν πληγῇ· ἧττον γὰρ ἐνδίδωσιν.

46. Διὰ τί μεθυόντων μᾶλλον ἀποῤῥήγνυνται ἡ φωνὴ ἢ νηφόντων; — Ἢ διὰ τὸ πεπληρῶσθαι ταχέως ἀποῤῥηγνύασι τὴν φωνήν. σημεῖον δὲ τούτου· οὔτε γὰρ οἱ χοροὶ μελετῶσιν ἐξ ἀρίστου οὔτε οἱ ὑποκριταὶ, ἀλλὰ νήστεις ὄντες. ἐν δὲ τῇ μέθῃ πληρέστεροι ὄντες εὐλόγως μᾶλλον ἀποῤῥήγνυνται τὰς φωνάς. = Par. 90 (Us. 91).

47. Διὰ τί ποτε τῶν ὀξυτέρων φωνῶν ποῤῥώτερον ἀκούουσιν; — Ἢ διότι τὸ ὀξὺ ἐν φωνῇ ταχύ ἐστι, θᾶττον δὲ κινεῖται τὰ βίᾳ μᾶλλον φερόμενα, τὰ δὲ σφοδρότερον φερόμενα ἐπὶ πλέον φέρεται. cf. 19.

---

1 παχύ X. 3 ψοφῶσι XY. 13 διὰ τὸ] διότι τῷ Y. Par. 14 ἀποῤῥήγνυσι codd. (et Par. Us.) ἀπορρηγνῦσι Us.

Pr. 46. Potione sumpta vox in grave deprimitur pr. 36, rumpitur pr. 22 (cf. 12). quid sit ἀποῤῥήγνυσθαι τὴν φωνήν exponitur de audib. 804$^{b\,11-20}$. cf. XIX 3. de hora optima canendi et exercendi pr. 22.

50. *Διὰ τί ποτε οἱ μὲν γελῶντες βαρὺ φθέγγονται, οἱ δὲ κλαίοντες ὀξύ; — Ἢ διότι ἀπὸ τῶν συντόνων ὀξεῖα ἡ φωνή, τὸ δὲ ὀξύ ἐστιν ἀσθενές· ἄμφω δὲ ταῦτα μᾶλλον τοῖς κλαίουσιν ὑπάρχει· καὶ γὰρ συντέτανται μᾶλλον οἱ κλαίοντες καὶ ἀσθενέστεροί εἰσιν.* cf. 13. 15.

51. *Διὰ τί, εἴπερ ἡ φωνὴ ἀήρ τις ἐσχηματισμένος ἐστί, φερομένη διαλύεται πολλάκις τὸ σχῆμα, ἡ δὲ ἠχώ, ἢ γίνεται πληγέντος τοῦ τοιούτου πρός τι στερεόν, οὐ διαλύεται, ἀλλὰ σαφῶς ἀκούομεν; — Ἢ διότι ἀνάκλασίς ἐστιν, οὐ κατάκλασις· τοῦτο δὲ ὅλον ἀφ' ὅλου. εἶτα τὸ πάθος ἀφ' ὁμοίου· ἀπὸ γὰρ τοῦ ἀέρος ἀνακλᾶται ἐν τῷ κοίλῳ, οὐκ ἀπὸ τοῦ κοίλου.* = Par. 93 (Us. 94) cf. XI 23.

---

6 *φωνή ἐστιν ἀήρ* pr. 23. *τίς ἐστιν* Par. 93. 7 *καὶ φερ.* Par. *καὶ φερόμενος* pr. 23. *ἡ ἠχὼ γίν.* Par. et codd. 23. 9 *διαλ. αὕτη* pr. 23. *ὅτι* 23. 10 *ἐ. ἀλλ' οὐ* 23. *ἀ. οὐ κ. ἐστιν* Par. post *κατάκλασις* pergit 23: *οὕτω δὲ τό θ' ὅλον διαμένει, καὶ δύο μέρη ὁμοιοσχήμονα ἐξ αὐτοῦ γίνεται· πρὸς ὁμοίαν γὰρ γωνίαν ἐστὶν ἡ ἀνάκλασις· διὸ καὶ ὁμοία γίνεται ἡ τῆς ἠχοῦς φωνὴ τῇ ἐξ ἀρχῆς.* 11 *π. ἀφομοιοῦται* Par. *ἀνακλ. τοῦ ἐν* id.

Pr. 51. Vocem esse aerem conformatum, hoc quidam docuisse dicuntur ab auctore *περὶ ἀκουστῶν* init. hoc et Stratonem improbasse non minus quam illum auctorem accepimus ab Alexandro Aphrod. comment. in Arist. de sensu p. 117. nomina tamen illorum qui talia docebant ignoramus. Ar. quidem docuisse non videtur, cuius cum habeamus duas definitiones (de anima II 8 § 5 et 11, — tertia quaedam exstat in pr. XIX 35 fin.), nihil invenimus de aere conformato. Crebra sunt de repercussa vocis imagine problemata 7. 8. 9. 45 fin. (etiam 6 et fortasse XIX 11) et optime sonus reddi dicitur e corporibus cavis (ut e lyrae testudine) 8. 9. ipso tamen aere (ut hoc loco) sonus repelli dicitur ab Ar. anima II 8, 4 cf. Trendelenburg p. 312. lucem fractam et redditam comparat Peripateticus pr. 23. 45, ut ipse magister l. l.

53. *Διὰ τί ἀγωνιῶντες μὲν βαρύτερον φθέγγονται, φοβούμενοι δὲ ὀξύτερον; καίτοι καὶ ἡ αἰδὼς φόβος τίς ἐστιν. — Ἢ διαφέρει πολὺ τὸ πάθος. οἱ μὲν γὰρ αἰδούμενοι ἐρυθριῶσιν (ἡ δὲ ἀγωνία αἰσχύνη τίς ἐστιν), οἱ δὲ φοβούμενοι ὠχριῶσιν. φανερὸν οὖν, ὅτι τοῖς μὲν φοβουμένοις ἐκλείπει ἄνωθεν τὸ θερμόν, ὥστε κινεῖ ἀσθενὲς ὂν ὀλίγον ἀέρα τὸ πνεῦμα, τὸ δὲ ὀλίγον ταχὺ φέρεται, τὸ δὲ ταχὺ ἐν φωνῇ τὸ ὀξύ. τοῖς δὲ αἰδουμένοις ἄνω ἔρχεται τὸ θερμὸν περὶ τὰ στήθη· σημεῖον δὲ, ὅτι γίνονται ἐξέρυθροι. πολὺν δὲ κινεῖ ἀέρα ἡ πολλὴ δύναμις, τὸ δὲ πολὺ βραδέως φέρεται, τὸ δὲ βραδὺ ἐν φωνῇ βαρύ.* cf. 32.

56. *Διὰ τί τοῦ μὲν χειμῶνος ὀξύτερον φθέγγονται καὶ νήφοντες, θέρους δὲ καὶ μεθύοντες βαρύτερον; — Ἢ ὅτι ὀξυτέρα μέν ἐστιν ἡ ταχυτέρα, ταχυτέρα δέ ἐστιν ἡ ἀπὸ συντεταμένου φωνή. τῶν δὲ νηφόντων καὶ ἐν τῷ χειμῶνι τὰ σώματα συνέστηκε μᾶλλον ἢ μεθυόντων καὶ ἐν τῷ θέρει· τὸ γὰρ θερμὸν καὶ αἱ ἀλέαι διαλύουσι τὰ σώματα.* cf. Par. 84 (Us. 85).

59. *Διὰ τί γίνεται ἐλάττων μὲν ἡ φωνὴ ἐξαιρουμένων, ὁμοία δὲ τὸν χαρακτῆρα; — Ἢ ὅτι ἐμέμικτο*

---

2 *καὶ* om. C. 13 *ἐν τῷ χειμῶνι* Par. 84. 14 *καὶ νήφοντες* om. X Par. *τοῦ δὲ θέρους* X. 15/16 *ἐστιν ἡ ταχ. ἢ ἀπὸ σ.* Par. 17 *μᾶλλον*] *μάλιστα* Par.

Pr. 56. De frigoris et caloris effectu vide ad 13. Pr. 59. Cogitat sonum multis vocibus effectum. „Cur demptis vocibus nonnullis servat acuminis gradum?“ quod si multitudo aeris propulsi sonorum efficit gravitatem (pr. 21. 40. 53. annot. ad 14), minuto canentium numero sonus oportebat intendi. quam difficultatem solvere Peripatetici isti minime potuerunt. cf. ad V 2.

αὐτοῖς, τὸ δὲ μεμιγμένον οὐ τῇ μέν ἐστι, τῇ δὲ οὔ, ἀλλὰ πάντῃ. ὁμοίως οὖν πανταχόθεν ἐξαιρουμένων συνέχεται ὁμοίως, ὥστ' ἔλαττόν τε ἀνάγκη καὶ ὅμοιον εἶναι.

61. Διὰ τί τοῦ χειμῶνος αἱ φωναὶ βαρύτεραι; — Ἢ ὅτι παχύτερος ὁ ἀὴρ, παχυτέρου δὲ ὄντος βραδυτέρα ἡ κίνησις, ὥσθ' ἡ φωνὴ βαρυτέρα. — ἢ διότι διὰ τῶν στενῶν βραδύτερον χωρεῖ ὁ ἀήρ, συμφράττεται δὲ τὸ περὶ τὸν φάρυγγα ὑπό τε τοῦ ψυχροῦ καὶ τοῦ ἐπιῤῥέοντος φλέγματος. = Par. 94 (Us. 95) cf. XI 17.

62ª. Διὰ τί τὰ παιδία καὶ αἱ γυναῖκες καὶ οἱ εὐνοῦχοι καὶ οἱ γέροντες φθέγγονται ὀξύ; — Ἢ ὅτι θάττων κίνησίς ἐστιν ἡ ὀξυτέρα. ἔστι δὲ τὸ αὐτὸ * πλείονος δυσκινητότερον, ὥστε οἱ ἐν ἀκμῇ πλείω συνεπισπῶνται τὸν ἀέρα· οὗτος οὖν βραδύτερον ἰὼν βαρυτέραν παρασκευάζει τὴν φωνήν. ἐν δὲ τοῖς παιδίοις καὶ εὐνούχοις διὰ τὸ ἐλάττω ἔχειν ἐναντίως. cf. 14.

62ᵇ. Τρέμειν δὲ τοὺς πρεσβύτας οὐ δυναμένους κρατεῖν, ὥσπερ τοῖς ἀδυνάτοις καὶ παιδίοις, ὅταν μακρὸν ξύλον λάβωσιν ἀπ' ἄκρου, τὸ ἕτερον ἄκρον σείεται διὰ τὸ μὴ κρατεῖν. διὰ τοῦτο καὶ οἱ πρεσβῦται

---

5 τί χειμῶνος ὄντος Par. 94. 8 στενῶν Par. στέρνων hic codd. et Bk. cf. 18. 9 τὸ] τὰ Par. φάρ. τῇ ποιότητι τοῦ ψ. Par. 13 ἡ om. CY. 15 βραδύτερος CX. 16 βαρυτέραν Bk, βραδυτέραν codd.

Pr. 61. De tuborum angustorum sonis v. ad 18. de frigore ad 13. de spisso aere 17. 32. Pr. 62ª. ἔστι δὲ τὸ αὐτὸ „idem difficilius novet maiorem copiam" Bs. „et cum genus idem sit, motu facilius est quod minus quam quod plus est." Gz. cum de viris disputetur, haud scio an scribam τοῦ αὐτοῦ πλεῖον δυσκ.
Pr. 62ᵇ. de voce tremula cf. pr. 31. de anxiis pr. 32 (53). 36.

τρέμουσιν. τὸ αὐτὸ δὲ ὑποληπτέον καὶ ἐπὶ τῶν ἀγωνιώντων καὶ φοβουμένων καὶ ῥιγώντων αἴτιον τοῦ τρόμου τῆς φωνῆς. τοῦ γὰρ ἔχοντος τὴν φωνὴν τοιαύτην, τῶν τοιούτων παθῶν εἴσω περιεστηκότος τοῦ πλείστου, λοιπὸν ὀλίγον ὂν οὐ δύναται κρατεῖν τῆς φωνῆς, διὸ καὶ σείεται καὶ τρέμει. διὸ καὶ οἱ τεχνικοὶ τῶν συνειδότων ὅτι ἀγωνιῶσι μικρὸν διαλέγονται ἀπ' ἀρχῆς, καὶ ἄχρι οὗ ἂν καταστῶσιν· μικρᾶς γὰρ οὔσης τῆς φωνῆς ῥᾷον κρατοῦσιν.

ΙΘ. Ὅσα περὶ ἁρμονίαν.

1. Διὰ τί οἱ πονοῦντες καὶ οἱ ἀπολαύοντες αὐλοῦνται; — Ἢ ἵνα οἱ μὲν ἧττον λυπῶνται, οἱ δὲ μᾶλλον χαίρωσιν.

2. Διὰ τί ποῤῥωτέρω ὁ αὐτὸς τῇ αὐτῇ φωνῇ γεγωνεῖ μετ' ἄλλων ᾀδων καὶ βοῶν ἢ μόνος; — Ἢ ὅτι τὸ ἀθρόως τι ποιεῖν ἢ θλίβειν ἢ ὠθεῖν οὐ τοσαυταπλάσιόν ἐστιν ὅσος ὁ ἀριθμός· ἀλλ' ὥσπερ ἡ γραμμὴ ἡ δίπους οὐ διπλάσιον ἀλλὰ τετραπλάσιόν τι γράφει, οὕτω τὰ συντιθέμενα πλέον ἰσχύει κατὰ τὸν ἀριθμὸν ἢ ὅταν ᾖ διῃρημένα. ἀθρόων οὖν ὄντων μία γίνεται

1 τρέμουσιν διὰ τὸ μὴ κρατεῖν Y. 16 τοσαυταπλάσιον Bk, τοσαυταπλήσιον codd.

(3) τοῦ γὰρ ἔχοντος „cum in huius modi affectibus intro compellitur maxima pars, qui reliquus est spiritus quippe exiguus voce superior evadere non potest". Bs. „pulsus ab affectibus illis intro se colligat maxima ex parte, reliquum, quod exiguum exstat, vocem continere non potest." Gz.

XIX 2. Non additionis modo (3 + 3 = 6) ait vocum ictus ictibus adnumerari, sed ut in numerorum ratione factor factorem multiplicet (3 · 3 = 9), ita clamantium vocem augeri et multiplicari. res lepidius dicta quam verius. simile aliquid quaeritur, alia autem videtur auctoris sententia XI 52.

ἡ τῆς φωνῆς ἰσχὺς καὶ ἅμα ὠθεῖ τὸν ἀέρα ὥστε πολλαπλάσιον προϊέναι· καὶ γὰρ ἡ ἐκ πάντων φωνὴ μιᾶς ἑκάστης πολλαπλάσιος.

3. Διὰ τί τὴν παρυπάτην ᾄδοντες μάλιστα ἀποῤῥήγνυνται, οὐχ ἧττον ἢ τὴν νήτην καὶ τὰ ἄνω, μετὰ δὲ διαστάσεως πλείονος; — Ἢ ὅτι χαλεπώτατα ταύτην ᾄδουσι, καὶ αὕτη * ἀρχή. τὸ δὲ χαλεπὸν διὰ τὴν ἐπίτασιν καὶ πίεσιν τῆς φωνῆς· ἐν τούτοις δὲ πόνος· πονοῦντα δὲ μᾶλλον διαφθείρεται. cf. 4.

4. Διὰ τί δὲ ταύτην χαλεπῶς, τὴν δὲ ὑπάτην

---

5 μετὰ δὲ an potius μ. τε?

Pr. 3. Quaerit, cur saepe rumpatur vox eorum qui canant parypaten, sonum gravem, cum rumpi soleat vox in sonis acutissimis, qui ab hypata (sono quietis) multo magis distent. grave facilius cani dicitur pr. 37. (5) τὴν νήτην revoca ad ᾄδοντες. rumpitur autem vox, ὅταν μηκέτι δύνωνται τὸν ἀέρα μετὰ πληγῆς ἐκπέμπειν (de audibilibus p. 804b 11), cum quis aerem halitu aequabili pulsare non potest, ut nequeunt ebrii et cenati (XI 12. 46. cf. φθείρεσθαι XI 22). τὰ ἄνω sonos acutos dicit more non antiquo. ab initio enim graves sonos supra, acutos infra positos esse putabant, cf. ὑπάτη, ὑπερμέση, ὑπερυπάτη, et septem sphaerarum vetustam tabulam apud Nicomachum c. 3 et quae contuli in Philologum Götting. LII [1893] p. 17. hi Peripatetici (cf. 37) altero more praelato superiores dicunt sonos acutos, quod quando dici coeptum sit, nescimus; stellarum ordinem hac ratione primus spectasse videtur Archimedes vel Aratus (Philol. l. c. 25). 7 ante ἀρχή nonnulla excidisse puto, neque enim parypate dici vel cogitari potest melodiae principium. mese ab Aristotele metaph. IV 11 dicitur ordinis principium, eadem ab auctore pr. 44 nominatur tetrachordi initium, soni acuti appellantur in pr. 33 cantus initia; parypate in hoc numero referri minime potest.

Pr. 4. Huius problematis argumentum optime perspexit Helmholtz et exposuit *Lehre von den Tonempfindungen* III. Abt. 13. Abschn. S. 396. est enim ea parypate, quae postulet, ut descendat vox ad sonum graviorem. ut si nos coniunctum cum aliarum vocum sonis *G h d (Sol si re)* canimus sonum *f (fa)*,

ῥᾳδίως, καίτοι δίεσις ἑκατέρας; — Ἢ ὅτι μετ' ἀνέσεως ἡ ὑπάτη, καὶ ἅμα μετὰ τὴν σύντασιν ἑλαφρὸν τὸ ἀναχαλᾶν; διὰ ταὐτὸ δὲ ἔοικε καὶ* τὰ πρὸς μίαν λεγόμενα πρὸς ταύτην ἢ παρανήτην. δεῖ γὰρ μετὰ συννοίας καὶ καταστάσεως οἰκειοτάτης τῷ ἤθει πρὸς τὴν βούλησιν. [τοῦ δὲ δὴ μετὰ συμφωνίας τίς ἡ αἰτία;]

5. Διὰ τί ἥδιον ἀκούουσιν ᾀδόντων ὅσα ἂν προεπιστάμενοι τυγχάνωσι τῶν μελῶν, ἢ ὧν μὴ ἐπίστανται; — Πότερον ὅτι μᾶλλον δῆλος ὁ τυγχάνων ὥσπερ

---

2 *σύντασιν* Ru (coll. XI 56), *σύστασιν* codd. 5 *οἰκειοτάτη* XY. 9 *ἢ ὧν μὴ*] *ἐὰν μὴ* et *ἐπιστῶνται* prop. Bj.

---

exspectat sensus sonum *e (mi)* tenditque vox ad eum, ac si diutius retinendus est acutior ille sonus, aegre voluntatis fortitudine canentes sustinent. fuit igitur parypate id, quod nos dicimus *abwärts führender Leiteton (note sensible descendante);* tendebat canentium voluntas ad hypaten, et quo labore alias sonos canebant acutissimos, eo hunc sonum satis gravem sustinebant.

(1) *δίεσις ἑκατέρας* quamvis illorum intervallum sit parvum. (2) *μετὰ τὴν σύντασιν* postquam cum labore sustinuisti sonum illum difficilem, post intentionem vocis commodum est finem facere laboris et canere sonum facilem, *ἀνιέναι* vel *ἀναχαλᾶν, τὴν φωνήν* cf. de sensu 6. iam quae sequuntur, omni sensu carent. licet tamen suspicari dicere auctorem simile aliquid ac de sonis gravibus iam de tetrachordo superiore, fere hunc in modum: *ταὐτὸ ἔοικε λέγειν καὶ περὶ τοῦ ὀξυτέρου τετραχόρδου καὶ ἀναλάβοι τις ἂν τὰ πρόσθεν λεγόμενα βλέπων πρὸς τρίτην καὶ παραμέσην.* trite enim tendit ad paramesen ut parypate ad hypaten: de paranete autem nullo modo hic sermo est. (cf. in annot. ad pr. 7 lyrae harmoniam quartam.) *πρὸς βίαν λεγόμενα* prop. Bs. (4) *δεῖ γὰρ·* desideratur verbum ut *ἐργάζεσθαι* vel *διαπονεῖν.* „rei conscientia atque constantia ad opus accomodata animum contendere oportet ad propositum."

Pr. 5. *Ὁ τυγχάνων ὡ. σκοποῦ·* (cf. *τυγχ. σκοποῦ* metaph. 1, 2 fin.) malo hoc referre ad poetam qui carmine aliquid efficiendum sibi proposuit (ut Ruelle *„l'intention du compositeur"*). quamquam in pr. 9 eadem verba referri videntur ad cantorem, qui sonorum intervalla recte metiatur et inveniat. vertendum

σκοποῦ, ὅταν γνωρίζωσι τὸ ᾀδόμενον· τοῦτο δὲ ἡδὺ θεωρεῖν. ἢ ὅτι ἥδιον τὸ θεωρεῖν καὶ ἀναγνωρίζειν τοῦ μανθάνειν; τούτου δὲ αἴτιον, ὅτι τὸ μὲν λαμβάνειν τὴν ἐπιστήμην, τὸ δὲ χρῆσθαι καὶ ἀναγνωρίζειν ἐστίν. ἔτι καὶ τὸ σύνηθες ἡδὺ μᾶλλον τοῦ ἀσυνήθους. cf. 40.

6. Διὰ τί ἡ παρακαταλογὴ ἐν ταῖς ᾠδαῖς τραγικόν; — Ἢ διὰ τὴν ἀνωμαλίαν· παθητικὸν γὰρ τὸ ἀνωμαλὲς καὶ ἐν μεγέθει τύχης ἢ λύπης. τὸ δὲ ὁμαλὲς ἔλαττον γοᾶδες.

7. Διὰ τί οἱ ἀρχαῖοι ἑπταχόρδους ποιοῦντες ἁρμονίας τὴν ὑπάτην, ἀλλ' οὐ τὴν νήτην κατέλιπον; —

---

2 ἢ ὅτι ἡδὺ μᾶλλον τὸ θεωρεῖν ἢ τὸ μανθάνειν Bo. ἢ ὅτι ἡδὺ τὸ μανθάνειν codd. 3 τοῦτο CY. ὅτι om. CXY.

---

videtur: „utrum quia apertius homo musicus id quod quasi finem spectat adipiscitur, si audientes carmen noverunt; iuvat autem, si hoc eum adipisci videmus. an quia ⟨melodiam notam agnoscere et iterum considerare⟩ iucund⟨ius est quam ignotam⟩ discere?“ nam ἡδὺ τὸ μανθάνειν, quod codicibus traditur, ferri non potest; non de discendo agitur, nec nova carmina iucundiora dicuntur, sed vetera laudantur eorumque repetitio commendatur. ad universum argumentum cf. praeter pr. 40 et διὰ τὸ ἔθος 38.

Pr. 6. (6) Καταλέγειν est recitare non canentem (καταλογή· ᾄσματα μὴ ὑπὸ μέλει λέγειν Hesy. παρακαταλογή est alius modus recitandi, qui animos magis commoveat (ἀνωμαλές, παθητικόν, τράγικον) et recitandi ad tibiam vel fides quasdam. τῶν ἰαμβείων τὸ τὰ μὲν λέγεσθαι παρὰ τὴν κροῦσιν, τὰ δ' ᾄδεσθαι Ἀρχίλοχόν φασι καταδεῖξαι Ps.-Plut. mus. 28, προσεξεῦρε . . . καὶ τὴν παρακαταλογὴν καὶ τὴν περὶ ταῦτα κροῦσιν. ib. cftr. Xenoph. conv. 6. Christ in actis acad. Bav. XIII 3, 161 ss. idem Metrik § 744. Pr. 7. ἁρμόνια derivatur de verbo ἁρμόζειν *stimmen, accorder*, estque ratio lyrae temperandae, unde harmoniae dicuntur septem illae species diapason, quae in lyra constituebantur (Cleon. c. 9). lyrae autem temperationes ab initio erant hae:

Πότερον τοῦτο ψεῦδος (ἀμφοτέρας γὰρ κατέλιπον, τὴν δὲ τρίτην ἐξῄρουν), ἢ οὔ; — Ἀλλ' ὅτι ἡ βαρυτέρα

---

1. antiquissima lyra septem nervorum habuit coniuncta (*συνημμένα*) tetrachorda:

(1.) hypate parypate lichanos mese paramese vel trite paranete nete

e	f	g	a	b	c′	d′
mi_2	fa_2	sol_2	la_2	si^b_2	do_3	re_3.

hanc describit Nicomachus harm. c. 3.

2. cum vero Terpander lyrae dedisset neten acutiorem (e′ = mi_3), hae fuisse videntur chordae:

(2.) hypate parypate lichanos mese paramese vel trite paranete nete

e	f	g	a	c′	d′	e′
mi_2	fa_2	sol_2	la_2	do_3	re_3	mi_3.

(haec quidem erat Terpandri lyra, si vera dicit Nicomachus 5: *Πυθαγόρας παρενέθηκεν ὄγδοόν τινα φθόγγον* (h) *μεταξὺ μέσης* (a) *καὶ παραμέσης* (c′) *ἑνάψας*. potuit quidem uti et forma tertia.)

3. Philolaus autem usus esse dicitur (a Nic. 9) hac lyrae harmonia:

(3.) hypate parypate lichanos mese paramese vel trite paranete nete

e	f	g	a	h	d′	e′
mi_2	fa_2	sol_2	la_2	si_2	re_3	mi_3.

et profecto Pythagoreis omnibus opus erat sono *h* = si.

4. Secuta est lyra octachordos, qua hi Peripatetici utuntur:

(4.) hypate parypate lichanos mese paramese trite paranete nete

e	f	g	a	h	c′	d′	e′
mi_2	fa_2	sol_2	la_2	si_2	do_3	re_3	mi_3.

venia autem habenda Peripatetico qui ordine rerum inverso (neque enim ex octo nervis septem factae sunt) quaerit, cur vetusta lyra (1) nete (*mi* vel *e*) caruerit. qui vero respondet, is Terpandri lyram (2) recordatus improbat quaestionem, cum dicit neten *(mi)* retentam, triten veterem (si^b) eiectam fuisse.

(2) *ἀλλ' ὅτι·* alius deinde et prudentior homo accepta illa quaestione affert causam facti. — *ἡ βαρυτέρα ἰσχύει τὸν τῆς ὀξ. φθ.* namque *ἐν ἀντιφώνοις καὶ τὴν ἑτέραν ἐάν τις ᾄδῃ, τὸ αὐτὸ ποιεῖ* (pr. 18) et *ἀπὸ τῆς ὑπάτης* (si e lyra datur hypate) *τὴν νήτην τις δύναται ᾄδειν* (42 cf. 14). hypates igitur sonus fere idem valet atque netes; quid quod duae netae in hypata

ἰσχύει τὸν τῆς ὀξυτέρας φθόγγον, ὥστε μᾶλλον ἡ ὑπάτη ἀπεδίδου τὸ ἀντίφωνον ἢ ἡ νήτη, [ἐπεὶ τὸ ὀξὺ δυνάμεως μᾶλλον, τὸ δὲ βαρὺ ῥᾷον φθέγξασθαι]. cf. 47. 32.

8. *Διὰ τί ἡ βαρεῖα τὸν τῆς ὀξείας ἰσχύει φθόγγον; — Ἢ ὅτι μεῖζον τὸ βαρύ· τῇ γὰρ ἀμβλείᾳ ἔοικε, τὸ δὲ τῇ ὀξείᾳ γωνίᾳ.*

9. *Διὰ τί ἥδιον τῆς μονῳδίας ἀκούομεν, ἐάν τις πρὸς αὐλὸν ἢ λύραν ᾄδῃ; καίτοι πρόσχορδα καὶ τὸ αὐτὸ μέλος ᾄδουσιν ἀμφοτέρω[ς]. *εἰ γὰρ ἕτερπε μᾶλλον τὸ αὐτὸ πλείονας ᾄδειν, ἔδει πρὸς πολλοὺς αὐλητὰς καὶ ἔτι ἥδιον εἶναι. — Ἢ ὅτι τυγχάνων δῆλος*

---

2 *ἐπεὶ*] *ἔτι καὶ* prop. Bj. 8 *πρόσχορδα* Plato leg. VII 16. Plut. mus. 28. *πρὸς χορδὰς* codd. 9 *μέλος*] *μέρος* codd. *ἀμφοτέρω* ego. *εἰ γὰρ ἔτι μᾶλλον τὸ αὐτὸ πλέον ἔδει* codd.

---

insunt! (12 s. fin.) itaque citharoedi optione data mallentne in heptachordo hypaten retinere an neten, praetulerunt illam, quae et suum sonum et octavam (*ἀντίφωνον*) canentibus significaret. sed illud *ἐπεὶ τὸ ὀξύ* vereor ut fuerit ab initio scriptum; nam quod soni graves facile voce humana canuntur, quid hoc ad lyram? acutum quidem dicitur *σφοδρότερον, βίᾳ μᾶλλον φερόμενον* XI 47. 14, grave facile ad canendum XIX 3. 4.

Pr. 8. Revocanda quaestio videtur ad hypaten et neten, de quibus actum est in pr. 7. soni graviores maiorum sunt vel tibiarum vel chordarum, maior enim moles aeris movenda. cf. 7. 12. 37. XI 13. gener. an. V 7, 2. (5) *τὸ βαρὺ τῶν συντόνων βέλτιον. ἀμβλείᾳ γωνίᾳ* vide de anima II 8, 8 (loc. exc. 1). et Sext. Emp. 40, quem exscripsi p. 12. Pr. 9. „Cur magis gaudemus, si quis ad tibiam vel lyram canit (scil. quam si voce sola canit? neque enim aliud est instrumenti carmen, sed idem canit uterque“ (de *πρόσχορδα* v. ad 39ᵇ sub fin.) iam sequi debet: „nam hoc si nos iuvaret, quod plures idem canunt, multo etiam iucundius esset canere comitatum tibicinibus multis.“ cum vero in priore sententia deesset verbum, in altera *πλέον ἔδει* ferri minime posset, proposui *ἕτερπε* et *πλέονας*. (11) *ἢ ὅτι τυγχ.* quod in pr. 5 referendum erat ad poetam, hic malo referre ad eum qui canit; invenit enim facilius veros sonos ducente tibia vel lyra.

τοῦ σκοποῦ μᾶλλον, ὅταν πρὸς αὐλὸν ᾖ λύραν· τὸ δὲ πρὸς πολλοὺς αὐλητὰς ἢ λύρας πολλὰς οὐχ ἥδιον, ὅτι ἀφανίζει τὴν ᾠδήν. alius est sensus pr. 43.

10. Διὰ τί, εἰ ἥδιον ἡ ἀνθρώπου φωνὴ, ἡ ἄνευ λόγου ἄδοντος οὐχ ἡδίων ἐστὶν, οἷον τερετιζόντων, ἀλλ' αὐλὸς ἢ λύρα; ἢ οὐδ' ἐκεῖνο ἐὰν μιμῆται, ὁμοίως ἡδύ; — Οὐ μὴν ἀλλὰ καὶ διὰ τὸ ἔργον αὐτό. ἡ μὲν γὰρ φωνὴ ἡδίων ἡ τοῦ ἀνθρώπου, κρουστικὰ δὲ μᾶλλον τὰ ὄργανα τοῦ στόματος. διὸ ἥδιον κρούειν ἢ τερετίζειν.

11. Διὰ τί ἡ ἀπηχοῦσα ὀξυτέρα; — Ἢ ὅτι ἔλαττον, ἀσθενεστέρα γινομένη; cf. XI 20.

---

6 ἐκεῖνο ego, ἐκεῖ codd., ἐκείνη prop. Bj. ἐὰν μιμ. C. ἐὰν μὴ μιμ. XY. 9 κρούειν Breuer (de Panath. thes. 4) et Egger. ἀκούειν codd. ἀκούειν κρούειν Ru.

Pr. 10. „Si hominum vox iucundior est quam lyrae vel tibiae, cur, cum quis instrumentorum strepitum ore imitatur, hoc non iucundius sonat quam ipsa instrumenta?“ τερετίσματα sunt teste Hesychio: ᾠδαὶ ἀπατηλαί (ἢ ᾄσματα ἔκλυτα add. Suid.), τὰ τῆς κιθάρας κρούματα καὶ τὰ τῶν τεττίγων ᾄσματα (ἀπὸ μεταφορᾶς τοῦ τέττιγος ἢ τῆς χελιδόνος Suid.). τερετίζειν igitur significat cantum cicadarum, deinde similem sonum qui oritur plectro in citharam adhibito (*Gezwitscher, Geklimper*). tertio autem loco considerandus mos ille, quo scholiastae Pindari Ol. 9 narrant, si nec citharoedus nec tibicen adesset, unum e sociis (τὸν ἔξαρχον dicit alter sch.) cecinisse τήνελλα καλλίνικε. qua de re et schol. Aristoph. aves 1764 τὸ τήνελλα μίμησίς ἐστι φωνῆς κρούματος [αὐλοῦ] ποιᾶς ἀπὸ τοῦ ἐφυμνίου, οὗ εἶπεν Ἀρχίλοχος εἰς τὴν Ἡρακλέα (Archil. fr. 119 Bgk.). inde ᾠδαὶ ἀπατηλαί sunt hae voces cantorum citharam imitantium. (6) ἢ οὐδ' ἐκεῖνο· an vox, ubi instrumenta imitatur, non pariter iucunda? (8) ἡ μὲν γὰρ φωνή· ipsa quidem vox hominum iucunda est, sed ad κρούματα, quae propria sunt instrumentorum, parum apta. τοῦ στομ. „quam os“. Pr. 11. ἡ ἀπηχοῦσα sc. φωνή. duobus probl. (XI 6 et 20) demonstratur vox, ubi in longinquum spatium lata sit, postremo acutior videri. ac „vox

12. *Διὰ τί τῶν χορδῶν ἡ βαρυτέρα ἀεὶ τὸ μέλος λαμβάνει; (ἂν γὰρ δέηται ᾖσαι τὴν παραμέσην σὺν ψιλῇ τῇ μέσῃ, γίνεται τὸ μέσον οὐθὲν ἧττον· ἐὰν δὲ τὴν μέσην δέον ἄμφω, [ψιλὰ] οὐ γίνεται.) — Ἢ ὅτι τὸ βαρὺ μέγα ἐστίν, ὥστε κρατερόν. καὶ ἔνεστιν ἐν τῷ μεγάλῳ τὸ μικρόν. καὶ τῇ διαλήψει δύο νῆται ἐν τῇ ὑπάτῃ γίνονται.*

---

2 *δέηται* codd. *δέη τινά* prop. Bj. *παραμέσην*] *παρανήτην* Fétis. 3 *μέσον*] *μέλος* Vinc.

---

desinens" legitur hic in Gz. versione. contra in XI 6 *ἀπηχεῖν* (si vera est lectio) dicitur de repercussa vocis imagine, et *dans sa résonance* vertit R. etiam hoc *ἀπηχοῦσα*. — de sonando simpliciter positum videtur verbum ab Heraclide in loco Porph. Ptol. 214 (infra in prol. ad Eucl.). aliud statuitur de vocis exitu pr. 35^{b}.

Pr. 12. Idem dicit Plutarchus coniug. praec. 11 (p. 139c): *ὥσπερ, ἂν φθόγγοι δύο σύμφωνοι ληφθῶσι, τοῦ βαρυτέρου γίνεται τὸ μέλος, οὕτω πᾶσα πρᾶξις ἐν οἰκίᾳ .... ἐπιφαίνει τὴν τοῦ ἀνδρὸς ἡγεμονίαν*. Plutarchus et de causa rei disputavit in convivarum probl. 9, 9 (p. 736c), quod periisse admodum dolemus. (3) *ψιλός* cum apud citharam significet usum fidium sine vocis cantu (*ψιλοὶ κιθαρισταί* Athen. XIV 42, *ψιλὴ κιθάρισίς τε καὶ αὔλησις* Plato leges 2, 11): hoc loco ferri non potest. parentheseos pars prior haud scio an dicere velit: si quis, ubi oportet canere paramesen, in lyra simul pulsat mesen, accidit ut voce quoque capiat mesen (*ἂν γὰρ δέον τινὶ ἆ. τὴν π. συμψαύῃ τὴν μέσην, τῇ μέσῃ γίνεται τὸ μέλος οὐθὲν ἧττον*?). posterioris autem partis sensus debet esse fere hic: *ἐὰν δὲ τὴν μέσην δέον ἄμφω ψαύῃ, σφάλμα οὐ γίνεται*. i. e. si mesae loco hanc et paramesen pulsat, vox non fallitur; nam graviorem semper sonum haec sibi sumit. (5) *βαρὺ μέγα ὥστε κρατερόν* cf. 8. 7. (6) *ἐν τῇ διαλήψει*. cum digitum leniter apponis hypates puncto medio, ut vibrationum fiat terminus quidam vel nodus efficiaturque sonus qualem nunc dicunt *flageolet:* duos huiusmodi sonos potes elicere (et ex superiore et ex inferiore chordae parte) quorum uterque valet neten. cf. 23. Settala. Ru. ita Lasus sonorum rationes mensus esse dicitur apud Theonem mus. 12. p. 59, 22.

13. *Διὰ τί ἐν τῇ διὰ πασῶν τοῦ μὲν ὀξέος ἀντίφωνον γίνεται τὸ βαρύ, τούτου δὲ τὸ ὀξὺ οὔ; — Ἢ ὅτι μάλιστα μὲν ἐν ἀμφοῖν ἐστι τὸ ἀμφοῖν μέλος, εἰ δὲ μή, ἐν τῷ βαρεῖ· μεῖζον γάρ.*

14. *Διὰ τί λανθάνει τὸ διὰ πασῶν καὶ δοκεῖ ὁμόφωνον εἶναι, οἷον ἐν τῷ φοινικίῳ καὶ ἐν τῷ ἀνθρώπῳ; τὰ γὰρ ἐν τοῖς ὀξέσιν ὄντα οὐχ ὁμόφωνα, ἀλλ' ἀνάλογον ἀλλήλοις διὰ πασῶν. — Ἢ ὅτι ὥσπερ ὁ πρῶτος ἴσος εἶναι δοκεῖ φθόγγος, οὕτω δοκεῖ εἶναι διὰ τὸ ἀνάλογον ἰσότης ἐπὶ φθόγγων, τὸ δὲ ἴσον τοῦ ἑνός. ταὐτὸ δὲ τοῦτο καὶ ἐν ταῖς σύριγξιν ἐξαπατῶνται.*

---

2 Ἢ om. codd. 4 *ἐν*] *οὐ* codd. *ὥσπερ ὁ αὐτός εἶναι* codd. 9 *οὕτω δοκεῖ εἶναι* addo ego. 10 *διὰ γὰρ τὸ ἀνάλ.* Gz.

Pr. 13. Hoc puto responderi: dixerit forsitan quispiam, si hypate et nete in lyra pulsentur, utrumque sonum aeque esse dignum, quem melodia sequatur et sumat; tamen si alterutrum sumere oportet, praeferendus est gravis (cf. 12. 7. 8. 26). hoc si recte intellexi, quaestionem mecum ita interpreteris: „cur cum lyrae neta canunt homines hypaten nec unquam res invertitur?“ Pr. 14. Virorum vox a feminarum voce intervallo diapason distat, quod si viri feminaeque idem canere sibi videntur, intercedit hoc intervallum suntque antiphoni. cf. pr. 39. 17, etiam Adrastum apud Theonem de mus. 6 (p. 51 H). item si magna et parva eiusdem generis instrumenta idem canere iubentur, soni quasi idem videri, distare tamen diapason solent. ita profecto et phoenicium a virorum vocibus recedebat. *φοίνιξ* in fidium formis memoratur apud Athenaeum XIV 36 et Pollucem IV 59; *λυροφοίνιξ* auctore Iuba citatur ab Ath. IV 77 et 81. *λυροφοινίκιον* invenis apud Pollucem ib. (7) *τὰ ἐν ὀξέσιν ἀνάλογον* scil. *τοῖς βαρέσιν*. (10) *τὸ δὲ ἴσον τοῦ ἑνός*· an *τοῦ πρώτου* (*τοῦ ᾱ*)? nam si quis primum utriusque vocis sonum eundem esse iudicavit, omnes eosdem existimat. aequitatem vocum consonantium docet Theophrastus apud Porphyrium 242. (11) *ἐν ταῖς σύριγξιν* idem evenire solet, ubi syrinx atque ubi phoenicium cum

15. *Διὰ τί οἱ μὲν νόμοι οὐκ ἐν ἀντιστρόφοις ἐποιοῦντο, αἱ δὲ ἄλλαι ᾠδαὶ αἱ χορικαί; — Ἢ ὅτι οἱ μὲν νόμοι ἀγωνιστῶν ἦσαν, ὧν ἤδη μιμεῖσθαι δυναμένων καὶ διατείνεσθαι, ἡ ᾠδὴ ἐγίνετο μακρὰ καὶ πολυειδής. καθάπερ οὖν καὶ τὰ ῥήματα, — καὶ τὰ μέλη τῇ μιμήσει ἠκολούθει ἀεὶ ἕτερα γινόμενα· μᾶλλον γὰρ τῷ μέλει ἀνάγκη μιμεῖσθαι ἢ τοῖς ῥήμασιν. διὸ καὶ οἱ διθύραμβοι, ἐπειδὴ μιμητικοὶ ἐγένοντο, οὐκέτι ἔχουσιν ἀντιστρόφους, πρότερον δὲ εἶχον. αἴτιον δὲ, ὅτι τὸ παλαιὸν οἱ ἐλεύθεροι ἐχόρευον αὐτοί. πολλοὺς οὖν ἀγωνιστικῶς ᾄδειν χαλεπὸν ἦν, ὥστε ἐν μιᾷ ἁρμονίᾳ μέλη ἐνῆδον. μεταβάλλειν γὰρ πολλὰς μετα-*

---

1 *ἐν στροφαῖς καὶ ἀντιστρόφοις* Egger (Ru²). 11 *ἐν ᾱ ἁρμονίᾳ* Chabanon, *ἐν ἁρμονία* CX, *ἐναρμόνια* Y.

---

hominibus canit. — de consonantia diapason vide pr. 7. 12 fin. 13. 16 ss. 23. 24 (= 42). 32. 34 (= 41). 35. 39. 50. similia exponuntur in commentariis (Porph.) ad Ptol. harm. 277.

Pr. 15. Nomi fuerunt citharoedorum (ut Terpandri) et tibicinum (ut Sacadae), qui canentes saltabant. Athen. I 39. 40. Jan in actis phil. congressus Turic. [1877] 77. Graf de Gr. re musica [Marb. 1889] 56. (4) *διατείνεσθαι* manifesto significat „in longitudinem extendi" (ut sit *ᾠδὴ μακρά*). et quoniam sequitur *πολυειδής*, malo putare partes vel systemata cantus ita esse producta quam singulos sonos. illud autem *πολυειδής* referri apparet ad partes illas septem citharoedorum (Pollux IV 66) et quinque partes tibicinum (ib. IV 84, Guhrauer, der pythische Nomos. 1876). (8) *μιμητικοὶ ἐγένοντο*. expulsis Pisistratidis et condita rei publicae libertate ipsi cives canebant Pindari modo simplici aut etiam simpliciore. Wilamowitz in Herme XX p. 66. quarto tamen a. Ch. saeculo symphoniaci cantaverunt mercede conducti atque histrionum modo dramata egerunt. Philoxeni deinde et Timothei temporibus plane *μιμητικοὶ* facti sunt dithyrambi. (Wilamowitz Heracles I 80.) cf. Aristot. poet. 26 *ὡς οὐκ αἰσθανομένων ⟨τῶν θεατῶν τὴν ποίησιν⟩ ἂν μὴ αὐτὸς προσθῇ, πολλὴν κίνησιν κινοῦνται οἷον οἱ φαῦλοι αὐληταὶ κυλιόμενοι, ἂν δίσκον δέῃ μιμεῖσθαι, καὶ ἕλκοντες τὸν κορυφαῖον, ἂν Σκύλλαν αὐλῶσιν.*

βολὰς τῷ ἑνὶ ῥᾷον ἢ τοῖς πολλοῖς καὶ τῷ ἀγωνιστῇ ἢ τοῖς τὸ ἦθος φυλάττουσιν, διὸ ἁπλούστερα ἐποίουν αὐτοῖς τὰ μέλη. ἡ δὲ ἀντίστροφος ἁπλοῦν· εἷς γὰρ ῥυθμός ἐστι καὶ ἑνὶ μετρεῖται. τὸ δ' αὐτὸ αἴτιον καὶ διότι τὰ μὲν ἀπὸ τῆς σκηνῆς οὐκ ἀντίστροφα, τὰ δὲ τοῦ χοροῦ ἀντίστροφα· ὁ μὲν γὰρ ὑποκριτὴς ἀγωνιστὴς καὶ μιμητής, ὁ δὲ χορὸς ἧττον μιμεῖται.

16. Διὰ τί ἥδιον τὸ ἀντίφωνον τοῦ συμφώνου; — Ἢ ὅτι μᾶλλον διάδηλον γίνεται τὸ συμφωνεῖν, ἢ ὅταν πρὸς τὴν συμφωνίαν ᾄδῃ. ἀνάγκη γὰρ τὴν ἑτέραν ὁμοφωνεῖν, ὥστε δύο πρὸς μίαν φωνὴν γινόμεναι ἀφανίζουσι τὴν ἑτέραν. (sim. 35. 39.)

17. Διὰ τί διὰ πέντε οὐκ ᾄδουσιν ἀντίφωνα; — Ἢ ὅτι οὐχ ἡ αὐτὴ ἡ σύμφωνος τῇ συμφώνῳ ὥσπερ ἐν τῷ διὰ πασῶν· ἐκείνη γὰρ ἐν τῷ βαρεῖ ἀνάλογον, ὡς ἡ ὀξεῖα ἐν τῷ ὀξεῖ· ὥσπερ οὖν ἡ αὐτή ἐστιν ἅμα καὶ ἄλλη. αἱ δὲ ἐν τῷ διὰ πέντε καὶ διὰ τεττάρων οὐκ ἔχουσιν οὕτως, ὥστε οὐκ ἐμφαίνεται ὁ τῆς ἀντιφώνου φθόγγος· οὐ γάρ ἐστιν ὁ αὐτός.

---

1 ἢ τοῖς Bk. ἤτοι codd. 3 ἐποιοῦντο X. εἷς ῥυθμὸς γὰρ ego, εἷς ἀριθμὸς γὰρ Ru., ἀριθμὸς γὰρ codd. ἰσόῤῥυθμος Wagener apud Gevaertum I 342. 13 τί πέντε codd. διὰ ego. 14 τῇ συμφώνῳ ego, τῇ συμφωνίᾳ codd. ἐν τῇ σ. Ru. al. 16 ἐστιν ἐν τῷ ἅμα X.

---

(2) τὸ ἦθος est cantorum, τὸ πάθος histrionum. Pr. 16. Quaeritur, cur iucundior sit diapason consonantia quam diapente vel diatessaron. et est iucundior, quia unitas duorum sonorum magis est manifesta. cf. pr. 17 et quae laudavi supra ad 14. (10) ᾄδῃ scil. τίς cf. pr. 18 lin. 4. 43 in. de anima II 8, 6 eth. Nic. III 1, 6. Pr. 17. Σύμφωνος sc. φωνή. ἀνάλογον· est mese quaedam, hypate nete, omnis ordo sonorum in voce feminarum sicuti in voce virorum. cf. pr. 14. (18) ὥστε οὐκ ἐμφ. consonantiae diapente soni non ita coniunguntur, ut unus videatur esse.

18. *Διὰ τί ἡ διὰ πασῶν συμφωνία ᾄδεται μόνη; μαγαδίζουσι γὰρ ταύτην, ἄλλην δὲ οὐδεμίαν. — Ἢ ὅτι μόνη ἐξ ἀντιφώνων ἐστὶ χορδῶν· ἐν δὲ τοῖς ἀντιφώνοις καὶ τὴν ἑτέραν ἐὰν ᾄδῃ, τὸ αὐτὸ ποιεῖ. ἡ γὰρ μία τρόπον τινὰ τὰς ἀμφοτέρων ἔχει φωνάς, ὥστε καὶ μιᾶς ἀδομένης ἐν ταύτῃ τῇ συμφωνίᾳ ᾄδεται ἡ σύμφωνος, καὶ ἀμφοῖν ᾀδομέναιν ἢ τῆς μὲν ᾀδομένης τῆς δὲ αὐλουμένης ὥσπερ μίαν ἄμφω ᾄδουσιν. διὸ μόνη μελῳδεῖται, ὅτι μιᾶς ἔχει χορδῆς φωνὴν τὰ ἀντίφωνα.* = 39ᵇ.

19. *Διὰ τί δὲ ταῖς ἀντιφώνοις τοῦτο μόναις ὑπάρχει; — Ἢ ὅτι μόναι ἴσον ἀπέχουσι τῆς μέσης. ἡ οὖν*

---

3 *ταῖς* P, *τοῖς* CXY. 6 *τῇ συμφωνίᾳ* delet Bj. *ἡ σύμφωνος* ego (ut p. 83, 14), *ἡ συμφωνία* codd. 7 *ἀμφοῖν ᾀδομέναιν* prop. Bj., *ἄμφω ᾄδοντες* codd., *ἄμφω ᾄδονται* Ru². 8 *ὥσπερ καὶ μ.* X. 11 *ἴσον σχεδὸν ἀπ.* Ru.

Pr. 18. Quaeritur, cur duae voces diapason distantes idem canere possint, diapente inter se distantes non possint. causa affertur eadem quae in 16 et 17, quod maior est propinquitas sonorum diapason distantium magisque hi in unum coalescunt. (2) *μαγαδίζουσι* fortasse ad instrumentorum veluti magnarum parvarumque tibiarum sonos referendum; hoc constat, dici de intervallo diapason, sicuti 39ᵇ. ita Thraces illi apud Seuthen cornibus tubisque diapason distantibus sonabant *οἷον μαγάδι*. Xen. anab. VII 3, 32 (ac solet etiam hodie idem intervallum tubis cum cornibus intercedere). ipsa autem magadis erat magna quaedam harpae species (viginti chordas novimus ex Anacreontis fr. 18), in qua virorum et feminarum soni coniuncti audiebantur; Pindarus in scholio Hieroni cantato *ψαλμὸν ἀντίφθογγον* dicit, *διὰ τὸ δύο γενῶν ἅμα καὶ διὰ πασῶν ἔχειν τὴν συνωδίαν ἀνδρῶν τε καὶ παίδων*. (Aristoxenus apud Athen. XIV 36.) (4) *καὶ τὴν ἑτέραν — ποιεῖ·* haec si genuina sunt, dicunt: si quis alteram harum chordarum pellit (veluti hypaten), idem fere facit, ac si pellit alteram (neten). cf. pr. 7. 13s. et quae laudavi ad 14. Pr. 19. *Μόναι ἴσον ἀπέχουσι*. Hoc qui respondet voluntatem eius qui problema posuit minime intellexit. nam de maiore sonorum serie ille cogitavit, cum *μαγαδίζουσι* diceret in pr. 18 (et *ἀνάλογον* in

μεσότης ὁμοιότητά τινα ποιεῖ τῶν φθόγγων, καὶ ἔοικεν ἡ ἀκοὴ λέγειν ὅτι ἡ αὐτὴ καὶ ὅτι ἀμφότεραι ἕσχαται.

20. Διὰ τί, ἐὰν μέν τις τὴν μέσην κινήσῃ ἡμῶν ἁρμόσας τὰς ἄλλας χορδὰς καὶ χρῆται τῷ ὀργάνῳ, οὐ μόνον, ὅταν κατὰ τὸν τῆς μέσης γένηται φθόγγον, λυπεῖ καὶ φαίνεται ἀνάρμοστον, ἀλλὰ καὶ κατὰ τὴν ἄλλην μελῳδίαν· ἐὰν δὲ τὴν λιχανὸν ἤ τινα ἄλλον φθόγγον, τότε φαίνεται διαφέρειν μόνον, ὅταν κἀκείνῃ τις χρῆται; — Ἢ εὐλόγως τοῦτο συμβαίνει· πάντα γὰρ τὰ χρηστὰ μέλη πολλάκις τῇ μέσῃ χρῆται, καὶ πάντες οἱ ἀγαθοὶ ποιηταὶ πυκνὰ πρὸς τὴν μέσην ἀπαντῶσι, κἂν ἀπέλθωσι, ταχὺ ἐπανέρχονται, πρὸς δὲ ἄλλην οὕτως οὐδεμίαν. καθάπερ ἐκ τῶν λόγων ἐνίων ἐξαιρεθέντων συνδέσμων οὐκ ἔστιν ὁ λόγος Ἑλληνικός, οἷον τὸ τέ καὶ τὸ καί. ἔνιοι δὲ οὐθὲν λυποῦσι, διὰ τὸ τοῖς μὲν ἀναγκαῖον εἶναι χρῆσθαι πολλάκις, εἰ ἔσται λόγος, τοῖς δὲ μή. οὕτω καὶ τῶν φθόγγων ἡ μέση ὥσπερ σύνδεσμός ἐστι καὶ μάλιστα τῶν καλῶν διὰ τὸ πλειστάκις ἐνυπάρχειν τὸν φθόγγον αὐτῆς. cf. 36.

---

5 καὶ χρῆται Bk, κέχρηται codd. 16 καὶ τὸ καί] καὶ τὸ ἤ Sylburg, καίτοι (i. e. τὸ ἤ) P. 17 εἰ ἔσται] οὐκ ἔσται X, ἢ οὐκ ἔσται Sylb. 19 καλῶν sc. μελῶν. — τῶν ἄλλων prop. Ru.

---

pr. 17), et universas quasdam melodias spectavit, quarum soni suas inter se rationes servant, sive acuta tensione utimur, sive gravi. hic vero Terpandri vel Philolai heptachordon recordatus (vide ad pr. 7 n. 2 et 3) hypaten dicit et neten antiphonas, pariter fere a mese distantes; cf. pr. 25. cur autem diapason consonantiae alia sit natura ac reliquarum symphoniarum ne minimum quidem perspicit vel sentit.

Pr. 20. Ex hoc problemate Helmholtz (*Lehre von den Tonempfindungen* III 13. p. 395) conclusit, quantum valuerit mese Graecorum. cf. Dio Chrys. 68, 7.

21. *Διὰ τί τῶν ᾀδόντων οἱ βαρύτερον ᾄδοντες τῶν ὀξὺ ᾀδόντων, ἐὰν ἀπᾴδωσι, μᾶλλον κατάδηλοι γίνονται; ὁμοίως δὲ κἀν τῷ ῥυθμῷ οἱ ἐν τῷ βραδυτέρῳ πλημμελοῦντες κατάδηλοι μᾶλλον. — Πότερον ὅτι πλείων ὁ χρόνος ὁ τοῦ βαρέος, οὕτω δὲ μᾶλλον αἰσθητός; ἢ ὅτι ἐν πλείονι χρόνῳ πλείω αἴσθησιν παρέχει, τὸ δὲ ταχὺ καὶ ὀξὺ λανθάνει διὰ τὸ τάχος.*

22. *Διὰ τί οἱ πολλοὶ μᾶλλον ᾄδοντες τὸν ῥυθμὸν σώζουσιν ἢ οἱ ὀλίγοι; — Ἢ ὅτι μᾶλλον πρὸς ἕνα τε καὶ ἡγεμόνα βλέπουσι καὶ βραδύτερον ἄρχονται, ὥστε ῥᾷον τοῦ αὐτοῦ τυγχάνουσιν. ἐν γὰρ τῷ τάχει ἡ ἁμαρτία πλείων.*

23. *Διὰ τί διπλασία τῆς νήτης ἡ ὑπάτη; — Ἢ πρῶτον μὲν ὅτι ἐκ τοῦ ἡμίσεος ἡ χορδὴ ψαλλομένη καὶ ὅλη συμφωνοῦσι διὰ πασῶν. ὁμοίως δὲ ἔχει καὶ ἐπὶ τῶν συρίγγων. ἡ γὰρ διὰ τοῦ μέσου τῆς σύριγγος*

---

3 *κἀν* Ru., *καὶ* codd. *βραδυτέρῳ* Ru., *βαρυτέρῳ* codd. 5 *οὕτω* Ru., *οὕτος* codd. 10 *βραδύτ.* Bj. cum Gz., *βαρύτ.* codd. *ἄρχονται*] *ὀρχοῦνται* Graf de Gr. vet. musica (1889) p. 55. 11 *ῥᾷον* Bk., *ῥᾴδιον* codd. 13 *ἡ νήτη τῆς ὑπάτης* codd. 15 *συμφωνοῦσι* Y, *συμφωνοῦσα* CX.

Pr. 21 pugnare videtur cum 26 et 46. tamen quicunque res accurate perspicit, videt hic agi de audientium sensu et iudicio, ibi de ipsorum canentium facultate. at equidem dubito, offendanturne vehementius audientium aures, si in gravibus quam si in acutis sonis peccetur. Pr. 23. *Διὰ τί διπλασία τῆς νήτης ἡ ὑπάτη* corrigit Wagener apud Gevaertum II 276, et hypaten esse duplicem netes demonstrat is qui problema solvit concinens cum pr. 12 et 8. cf. ad XI 13. quamquam in pr. XIX 35 idem affirmatur, quod hoc loco codices nobis praebent. itaque qui putat prave eum qui respondeat hanc quaestionem intellexisse (ut pr. 19), is codicum lectionem servare potest. aliud syringium genus (unius calami) significari in initio problematis, aliud genus (fistulam Panis) postea dici ostendit Howard, *the Aulos, in Harvard studies of class. philology* IV 19.

τρήματος φωνὴ τῇ δι' ὅλης τῆς σύριγγος συμφωνεῖ διὰ πασῶν. ἔτι ἐν τοῖς αὐλοῖς τῷ διπλασίῳ διαστήματι λαμβάνεται τὸ διὰ πασῶν, καὶ οἱ αὐλοτρῦπαι οὕτω λαμβάνουσιν. καὶ οἱ τὰς σύριγγας ἁρμοττόμενοι εἰς μὲν τὴν ὑπάτην ἄκραν τὸν κηρὸν ἐμπλάττουσι, τὴν δὲ νήτην μέχρι τοῦ ἡμίσεος ἀναπληροῦσιν. ὁμοίως δὲ καὶ τὴν διὰ πέντε τῷ ἡμιολίῳ καὶ τὴν διὰ τεττάρων τῷ ἐπιτρίτῳ διαστήματι λαμβάνουσιν. ἔτι καὶ ἐν τοῖς τριγώνοις ψαλτηρίοις τῆς ἴσης ἐπιτάσεως γινομένης συμφωνοῦσι διὰ πασῶν ἡ μὲν διπλασία οὖσα ἡ δὲ ἡμίσεια τῷ μήκει.

24. Διὰ τί, ἐάν τις ψήλας τὴν νήτην ἐπιλάβῃ, ἡ ὑπάτη μόνη δοκεῖ ἀντηχεῖν; — Ἢ ὅτι συμφυὴς μάλιστα

---

2 *αὐλοῖς* Wagener ap. Gev. II 276, *ἄλλοις* codd. 4 *λαμβάνουσιν. ὁμοίως δὲ καὶ τὸ διὰ πέντε τῷ ἡμιολίῳ, ὅτι οἱ τὰς σύριγγας* codd., verba ex sequentibus petita eiecit Gaza. *καὶ οἱ τὰς* ego, *ἔτι οἱ τὰς σ.* Wag., *ἁρμ. ὅτι εἰς* C. 5 *ἄκραν* codd., *ἄκρον* Bj. 6 quae de diapente et diatessaron dicuntur habet Gaza in fine problematis. 8 *καὶ* ego, *οἱ* X, *εἱ* CY, *αἱ* Bj. 12. *ἐπιλάβῃ* Bk, *ἐπιβάλῃ* CY, *ἐπιβάλλῃ* X.

Pr. 24. *Ἐάν τις ἐπιλάβῃ*· si quis tangat chordam, ne amplius vibretur. — si chordae cuiusque proprius sonus cantetur vel voce vel instrumento aliquo, illam quasi ictam resonare constat; et sonis gravibus cum certi propinqui ex acutioribus contineantur (*Obertöne, Partialtöne*, Helmholtz *Tonempfindungen* I 3 p. 77. 85), saepe fit ut gravi sono cantato acutior chorda resonet, quasi ipsa pulsata sit. quod bene describit poeta in Anthologia Graeca I 46:

Δεξιτέραν ὑπάτην ὅποτε πλήκτροισι δονήσω,
Ἡ λαιὴ νήτη πάλλεται αὐτομάτως.

est autem sonus diapason intervallo acutior unicuique propinquissimus resonatque facillime. Adrastus quoque Peripateticus tales sonos audivisse videtur, qui consonantiam ita definiat: *συμφωνοῦσι φθόγγοι πρὸς ἀλλήλους, ὧν θατέρου κρουσθέντος ... καὶ ὁ λοιπὸς κατά τινα οἰκειότητα καὶ συμπάθειαν συνηχεῖ* (apud Theonem de mus. 6). mira tamen res est et vix credi-

γίνεται τῷ φθόγγῳ ὁ ἀπὸ ταύτης ἦχος διὰ τὸ σύμφωνος εἶναι. τῷ οὖν συναυξάνεσθαι τῷ ὁμοίῳ φαίνεται μόνος, οἱ δὲ ἄλλοι διὰ μικρότητα ἀφανεῖς. cf. 42.

25. Διὰ τί μέση καλεῖται ἐν ταῖς ἁρμονίαις, τῶν δὲ ὀκτὼ οὐκ ἔστι μέσον; — Ἢ ὅτι ἑπτάχορδοι ἦσαν αἱ ἁρμονίαι τὸ παλαιόν, τὰ δὲ ἑπτὰ ἔχει μέσον. cf. 44. 32.

26. Διὰ τί ἐπὶ τὸ ὀξὺ ἀπάδουσιν οἱ πλεῖστοι; — Πότερον ὅτι ῥᾷον ὀξὺ ᾄσαι ἢ βαρύ; ἢ ὅτι χεῖρον τοῦ βαρέος; ἁμαρτία δέ ἐστι τοῦ χείρονος πρᾶξις. cf. 46.

---

3 φ. ὅτι μόνος C. an φ. ὁ ὑπάτης μόνος?

---

bilis, quod hi problematum auctores non acutiores tantum chordae gravioribus, sed hypaten gravem netae acutae resonare dicant. multo enim rarius, fere nunquam gravior sonus acutiori auditur respondens (Helmholtz ib. p. 80). hoc quin audiri putaverint illi qui hic et 42 respondent, minime est dubium (συναυξάνεσθαι hic dicit netes sonum in sonum hypates, φθόγγον αὐτῆς ἀκούοντες ille in 42). ipsa tamen res ita se habuit, ut neta pulsata ex hypata chorda non gravis sonus princeps, sed eius diapason acutior sonaret. id quidem in nostris violinis, maioribus praesertim generibus facillime observatur. cum gravis alicuius chordae diapason edidi ex altera chorda, clare resonat e gravi chorda sonus ille pulsatus, quia est huic chordae propinquissimus. hoc qui quaestiones illas primi posuerunt, ita cogitasse puto; qui tamen solvunt problemata, ignorant.

Pr. 25. Vide quae diximus ad 7. et de problematis origine v. prooemium p. 40. Pr. 26. Ἐπὶ τὸ ὀξύ· cur ita peccant, ut nimis intendant vocem? (cf. 46.) (9) ῥᾷον ὀξύ nec aptum est ad solvendam quaestionem, nec verum per se, quamquam repetitur in pr. 46. multo verius in pr. 4. (3) 7 et 37 soni acuti dicuntur difficiles ad canendum. an hic sermo de tibia? in hac quidem Theophrastus apud Porphyrium (in Ptol. 242, 24 = Schneider V 190 s. fin.) sonos acutos ait cani facilius. χεῖρον lepidius hoc quam sapientius dictum. quamquam graves soni ita laudantur et in pr. 8. 12. 13. 33. — cf. etiam quae diximus ad 20.

27. *Διὰ τί τὸ ἀκουστὸν μόνον ἦθος ἔχει τῶν αἰσθητῶν; καὶ γὰρ ἐὰν ᾖ ἄνευ λόγου μέλος, ὅμως ἔχει ἦθος· ἀλλ' οὐ τὸ χρῶμα οὐδὲ ἡ ὀσμὴ οὐδὲ ὁ χυμὸς ἔχει. — Ἢ ὅτι κίνησιν ἔχει μόνον, οὐχὶ ἦν ὁ ψόφος ἡμᾶς κινεῖ· (τοιαύτη μὲν γὰρ καὶ τοῖς ἄλλοις ὑπάρχει· κινεῖ γὰρ καὶ τὸ χρῶμα τὴν ὄψιν·) ἀλλὰ τῆς ἑπομένης τῷ τοιούτῳ ψόφῳ αἰσθανόμεθα κινήσεως. αὕτη δὲ ἔχει ὁμοιότητα ἐν τε τοῖς ῥυθμοῖς καὶ ἐν τῇ τῶν φθόγγων τάξει τῶν ὀξέων καὶ βαρέων, (οὐκ ἐν τῇ μίξει· ἀλλ' ἡ συμφωνία οὐκ ἔχει ἦθος,) ἐν δὲ τοῖς ἄλλοις αἰσθητοῖς τοῦτο οὐκ ἔστιν. αἱ δὲ κινήσεις αὗται πρακτικαί εἰσιν, αἱ δὲ πράξεις ἤθους σημασία ἐστίν.* cf. 29.

28. *Διὰ τί νόμοι καλοῦνται οὓς ᾄδουσιν; — Ἢ ὅτι πρὶν ἐπίστασθαι γράμματα ἦδον τοὺς νόμους, ὅπως μὴ ἐπιλάθωνται, ὥσπερ ἐν Ἀγαθύρσοις ἔτι εἰώθασιν.*

---

1 ἦθος om. CX et pr. Y. 8 ὁμοιότητα] τοῖς ἤθεσι add. Ru. ὁμαλότητα prop. Wag. (ap. Gev. I 356).

Pr. 27. Ethos in carminibus audiendis inesse dicitur, non in iis, quae aliis sensibus percipiamus: de re publ. VIII 5, ubi et varii animorum motus distinguuntur. *οἱ ὀρχησταὶ διὰ τῶν σχηματιζομένων ῥυθμῶν μιμοῦνται καὶ ἤθη καὶ πάθη καὶ πράξεις* poetica 1. (5) *κινεῖ τὸ χρῶμα·* percipitur illud quidem animo, neque tamen commovet ita, ut mutetur eius habitus et condicio; soni excitant novos animi motus et voluntates. (9) *μίξις* sonorum turbare et obscurare carminis ethos Graecis videbatur cf. de audib. 801^{b19} *οὐχ ἥκιστα δὲ τοῦτο ⟨τὸ συγχεῖσθαι τὰς φωνὰς καὶ γίγνεσθαι ἀσαφεῖς⟩ ἐπὶ τῶν συμφωνιῶν φανερόν ἐστιν, ἀμφοτέρους γὰρ ἀποκρύπτεσθαι τοὺς ἤχους συμβαίνει ὑπ' ἀλλήλων.* cf. et ipsum Aristot. de sensu 7. (sup. p. 20); aliter tamen iudicatur in probl. 38. (11) *πρακτικαί*; hi animi effectus, quia nos excitant ad agendum, morum et honestatis sunt efficaces. Pr. 28. De nomis v. ad 15. etiam Proclum in Photi bibl. 239 p. 320 Bk. (15) *Ἀγάθυρσοι* Thracum natio quaedam, qui postea Daci nominabantur. Herod. IV. 100 104. Plinius nat. IV 12, 88.

καὶ τῶν ὕστερον κιθαρῳδῶν τὰς ᾠδὰς τὸ αὐτὸ ἐκάλεσαν ὅπερ τὰς πρώτας.

29. Διὰ τί οἱ ῥυθμοὶ καὶ μέλη φωνὴ οὖσα ἤθεσιν ἔοικεν, οἱ δὲ χυμοὶ οὐ, ἀλλ' οὐδὲ τὰ χρώματα καὶ αἱ ὀσμαί; — Ἢ ὅτι κινήσεις εἰσὶν ὥσπερ καὶ αἱ πράξεις. ἤδη δὲ ἡ μὲν ἐνέργεια ἠθικὸν καὶ ποιεῖ ἦθος, οἱ δὲ χυμοὶ καὶ τὰ χρώματα οὐ ποιοῦσιν ὁμοίως. cf. 27.

30. Διὰ τί οὐδὲ ὑποδωριστὶ οὐδὲ ὑποφρυγιστὶ οὐκ ἔστιν ἐν τραγῳδίᾳ χορικόν; — Ἢ ὅτι οὐκ ἔχει ἀντίστροφον· ἀλλ' ἀπὸ σκηνῆς, μιμητικὴ γάρ. cf. 48.

31. Διὰ τί οἱ περὶ Φρύνιχον ἦσαν μᾶλλον μελοποιοί; — Ἢ διὰ τὸ πολλαπλάσια εἶναι τότε τὰ μέλη ἐν ταῖς τραγῳδίαις τῶν μέτρων.

32. Διὰ τί διὰ πασῶν καλεῖται, ἀλλ' οὐ κατὰ τὸν ἀριθμὸν δι' ὀκτὼ, ὥσπερ καὶ διὰ τεττάρων καὶ διὰ πέντε; — Ἢ ὅτι ἑπτὰ ἦσαν αἱ χορδαὶ τὸ ἀρχαῖον,

---

1 ὕστερον κιθαρῳδῶν τὰς ᾠδὰς ego, ὑστέρων οὖν ᾠδῶν τὰς πρώτας codd. 9 ἀντίστροφον ⟨τῷ χορῷ⟩ ἀλλὰ ⟨τοῖς⟩ ἀ. σκ. Ru². 10 μιμητική] μιμητικοί (sc. οἱ ὑποκριταί cf. 48) Ru².

Pr. 29. (6) ἐνεργείᾳ· scripta carmina exsistunt δυνάμει, — quando canuntur et exiguntur, vocantur ad ἐνεργείαν vel vitam, huic vero inest animus voluntasque (ἦθος) eius qui canit.

Pr. 30. De harmonia hypodoria et hypophrygia v. ad 48. οὐκ ἐχ. ἀντ. immo quod chori his harmoniis non utebantur, antistrophas non fuisse putabimus. canebantur potius e scena, erant enim actorum. cf. 15. Pr. 31. Μελοποιοί· exiguus erat actorum numerus, pauca veteres illi recitabant, pauca agebant, multa cantaverunt. πολλαπλάσια varios novosque modos puto ingenio suo illi creaverunt, posteri satis habuerunt pari quodam modo metra decantare, ut sunt dochmiorum modi in Euripidis Oreste. coniungo πολλαπλάσια τῶν μέτρων. Pr. 32. Quae antiquissimae (1) et quae Terpandri (2) lyrae modulatio fuerit, vide ad pr. 7. sustulit Terpander triten $b = si^b$.

εἶτ' ἐξελὼν τὴν τρίτην Τέρπανδρος τὴν νήτην προσέθηκε καὶ ἐπὶ τούτου ἐκλήθη διὰ πασῶν, ἀλλ' οὐ δι' ὀκτώ· δι' ἑπτὰ γὰρ ἦν.

33. Διὰ τί εὐαρμοστότερον ἀπὸ τοῦ ὀξέος ἐπὶ τὸ βαρὺ ἢ ἀπὸ τοῦ βαρέος ἐπὶ τὸ ὀξύ; — Πότερον ὅτι τὸ μὲν ἀπὸ τῆς ἀρχῆς γίνεται ἄρχεσθαι; (ἡ γὰρ μέση καὶ ἡγεμὼν καὶ ὀξυτάτη τοῦ τετραχόρδου.) τὸ δὲ οὐκ ἀπ' ἀρχῆς, ἀλλ' ἀπὸ τελευτῆς. ἢ ὅτι τὸ βαρὺ ἀπὸ τοῦ ὀξέος γενναιότερον καὶ εὐφωνότερον;

34. Διὰ τί δὶς μὲν δι' ὀξειῶν καὶ δὶς διὰ τεττάρων οὐ συμφωνεῖ, δὶς διὰ πασῶν δέ; — Ἢ ὅτι οὐ δὶς δι' ὀξειῶν οὐδὲ δὶς διὰ τεττάρων ἐπιμόριόν ἐστιν, τὸ δὲ διὰ τεττάρων καὶ διὰ πέντε; cf. 41.

35ª. Διὰ τί ἡ διὰ πασῶν καλλίστη συμφωνία; — Ἢ ὅτι ἐν ὅλοις ὅροις οἱ ταύτης λόγοι εἰσίν, οἱ δὲ τῶν ἄλλων οὐκ ἐν ὅλοις. ἐπεὶ γὰρ διπλασία ἡ νήτη

---

4 ἀπὸ τ. ὀ. Bk, om. codd. 6 μὲν add Ru. 7 καὶ add Ru². τετραχόρδου Bk, παραχόρδου codd. 11 οὐ] ἡ codd., οὐδὲ Bs. 12 οὐδὲ] οὐ contra codd. Bk. ἐπιμόριον] ἐν λόγῳ ἐπιμ. Ru², om. codd. 15 ταύτης Bk, om. codd.

Pr. 33. Graves sonos accomodatos esse ad carminis finem iam vidimus in pr. 3. 4. et Ptolemaeus (quamquam harm. III 10 dicit qui vocem exerceant et confingant, canentes incipere a gravibus sonis et ad eos redire) ἡγούμενον διάστημα in tetrachordo dicit acutissimum I 12, et ab acutis sonis incipit ordo litterarum quibus Graeci sonos designant, cf. Alypium et Gaudenti finem. (6) μέσην dicunt cantus principium 44. 47 (cf. 20. 36).

Pr. 34. Δι' ὀξειῶν vel δι' ὀξειᾶν dicitur intervallum diapente a Philolao apud Nicomachum c. 9. Ar. Qu. I 8 p. 17. consonantium sonorum rationes aut multiplices esse oportet, aut superparticulares (Eucl. sectio p. 24); duo autem diatessaron 9 : 16 aut duo diapente 4 : 9 nec multiplices sunt nec superparticulares. Pythagorae de consonantiis doctrinam probare vides Aristotelem de sensu 3. metaph. I 9, 13. XIII 6, 6.

τῆς ὑπάτης, οἷα ἡ νήτη δύο, ἡ ὑπάτη ἕν, καὶ οἷα ἡ ὑπάτη δύο, ἡ νήτη τέσσαρα, καὶ ἀεὶ οὕτως. τῆς δὲ μέσης ἡμιολία· τὸ δὲ διὰ πέντε [ἡμιόλιον] οὐκ ἐν ὅλοις ἀριθμοῖς ἐστίν· οἷον γὰρ ἓν τὸ ἔλαττον, τὸ μεῖζον τοσοῦτόν τε καὶ ἔτι τὸ ἥμισυ, ὥστε οὐχ ὅλα πρὸς ὅλα συγκρίνεται, ἀλλ' ἔπεστι μέρη. ὁμοίως δὲ καὶ ἐν τῷ διὰ τεττάρων ἔχει· τὸ γὰρ ἐπίτριτόν ἐστιν ὅσον τὸ μεῖον καὶ ἔτι ἓν τῶν τριῶν μερῶν. — ἢ ὅτι τελεωτάτη ἐξ ἀμφοτέρων οὖσα καὶ ὅτι μέτρον τῆς μελῳδίας . . . (cf. 39ᵇ.)

[35ᵇ.] . . . διὰ παντὸς τοῦ φερομένου ἡ κατὰ μέσον κίνησις σφοδροτάτη, ἀρχομένου δὲ καὶ λήγοντος μαλακωτέρα· ὅτε δὲ σφοδροτάτη ἡ κίνησις, καὶ ἡ φωνὴ ὀξυτέρα τοῦ φερομένου. διὸ καὶ χορδαὶ ἐπιτεινόμεναι ὀξύτερον φθέγγονται, θᾶττον γὰρ ἡ κίνησις γίνεται. εἰ δὲ φωνὴ ἢ ἀέρος ἢ ἄλλου τινὸς φορά, τὴν ἀνὰ

---

1 οἷα Bk, ὅσα codd. 3 τὸ γὰρ δ. codd. ἡμιολία prop. Bj., ἡμιόλια Bk. ἡμιόλιον secl. ego. 5 τε prop. Bk, δὲ codd. 7 τὸ μεῖον τε καὶ prop. Bj., τεμεῖν δ καὶ codd., τέκεῖνο καὶ prop. Bk. 8 τριῶν Bj., τεττάρων codd. μερῶν ego. statim ἐπίτριτόν ἐστιν repetunt codd. οἷς ἐπ. ἐ. prop. Bs. 9 ἐξ ἀμφ.] ἡ ἐξ ἀμφ. Y, probat Ru. 11 hoc problema in codd. coniunctum cum 35ᵃ abest a versione Gazae. 16 εἰ prop. Bs, ἡ codd.

Pr. 35ᵃ. οἷα ἡ νήτη δύο· quo tempore nete bis vibratur, eo hypate movetur semel. (cf. 39ᵇ. 50 et Ps.-Nic. harm. p. 39 ὑπάτη μὲν γὰρ κατὰ τὸν ϛ ἀριθμόν . . . νήτη δὲ κατὰ τὸν ιβ.) ut stare possit lectio codicum in probl. 23. (9) ἀμφοτέρων ex diatessaron et diapente. Pr. 35ᵇ. Chordae vibratae pars media maxime movetur. at de motus tempore (ὅτε), de vibrationum initio incremento exitu qua ratione hoc dicatur, ego nescio. problematum XI 6 et 20 auctor sub exitum sonos intendi acutioresque fieri opinatur; hic simili errore deceptus mediam sonorum partem sentire sibi videtur acutiorem.

μέσον τὸν πόρον ὀξυτάτην δεῖ γίνεσθαι· ὥστε εἰ τοῦτο μὴ συμβαίνει, οὐκ ἂν εἴη φορά τινος.

36. Διὰ τί, ἐὰν μὲν ἡ μέση κινηθῇ, καὶ αἱ ἄλλαι χορδαὶ ἠχοῦσι φθειρόμεναι, ἐὰν δὲ αὖ ἡ μὲν μένῃ τῶν δ' ἄλλων τις κινηθῇ, ἡ κινηθεῖσα μόνη φθείρεται; — Ἢ ὅτι τὸ ἡρμόσθαι πρὸς τὴν μέσην ἐστὶν ἁπάσαις, τό τε ἔχειν πως πρὸς τὴν μέσην ἁπάσαις, καὶ ἡ τάξις ἡ ἑκάστης ἤδη δι' ἐκείνην. ἀρθέντος οὖν τοῦ αἰτίου τοῦ ἡρμόσθαι καὶ τοῦ συνέχοντος οὐκέτι ὁμοίως φαίνεται ὑπάρχειν. μιᾶς δὲ ἀναρμόστου οὔσης, τῆς δὲ μέσης μενούσης εὐλόγως τὸ κατ' αὐτὴν ἐκλείπει μόνον, ταῖς δὲ ἄλλαις ὑπάρχει τὸ ἡρμόσθαι. cf. 20.

37. Διὰ τί τοῦ ἐν φωνῇ ὀξέος ὄντος κατὰ τὸ ὀλίγον, τοῦ δὲ βαρέος κατὰ τὸ πολύ (τὸ μὲν γὰρ βαρὺ διὰ τὸ πλῆθος βραδύ, τὸ δὲ ὀξὺ δι' ὀλιγότητα ταχύ·) ἔργον μᾶλλον ᾄδειν τὰ ὀξέα ἢ τὰ βαρέα, καὶ ὀλίγοι

---

1 πόρον XBk, πόνον Y, πόνων C. 4 ἠχοῦσι] an δοκοῦσι, ὑπάρχουσι vel sim.? φθειρόμεναι Stark apud Helmholtz Tonempfindungen p. 367 (cf. pr. XI, 22), φθεγγόμεναι codd. 5 ἡ Sylb., om. codd. φθείρεται Stark, φθέγγονται codd. 6 πρὸς τ. μ. ego (cf. 9 τοῦ αἰτίου τοῦ ἡρμόσθαι). 7 τε] δὲ codd. 9 ὁμοίως] an ἁρμονία? 11 ἐκλείπει μόνον prop. Bj, ἐκλειπόμενον codd. 12 δὲ Ru², γὰρ codd. 15 βραδύ dubius prop. Bj, βαρύ codd. (cf. ταχύ in eadem l., ubi sunt qui malint ὀξύ).

Pr. 37. In instrumento quidem musico gravitas pendet e maiore copia; nam quo longior est vel chorda vel tibia, eo gravior sonus. haec est causarum de quibus ad XI 14 disputavi altera (ἰσχύει τὸ βαρύ, ἀσθενείας τὸ ὀξύ cf. Theoprastum in fr. de musica § 4—8 Porph. 242). at in hominum voce valet contrarium. nam ut in chordis vis tensionis efficit soni acumen, ita fit in larynge; qui omnibus viribus contendit, canit acute; qui vires minuit et voluntatem, remittit sonum (σφοδρότερον τὸ ὀξύ. ad XI 14. XIX 3. 4. 7 fin.). — cf. Arist. A 2 p. 8 s.

τὰ ἄνω δύνανται ᾄδειν, καὶ οἱ νόμοι ὄρθιοι καὶ οἱ ὀξεῖς χαλεποὶ ᾆσαι διὰ τὸ ἀνατεταμένοι εἶναι; καίτοι ἔλαττον ἔργον τὸ ὀλίγον κινεῖν ἢ τὸ πολύ, ὥστε καὶ ἀέρα. — Ἢ οὐ ταὐτό γε ὀξύφωνον εἶναι φύσει καὶ τὸ ὀξὺ ᾄδειν. ἀλλὰ φύσει μὲν ὀξύφωνα ἅπαντα δι' ἀσθένειαν τῷ μὴ δύνασθαι πολὺν κινεῖν ἀέρα, ἀλλ' ὀλίγον, ὁ δ' ὀλίγος ταχὺ φέρεται· — ἐν δὲ τῷ ᾄδειν τὸ ὀξὺ δυνάμεως σημεῖον· τὸ μὲν γὰρ σφοδρῶς φερόμενον ταχὺ φέρεται, διὸ τὸ ὀξὺ δυνάμεως σημεῖον. — διὸ καὶ οἱ ἐκτικοὶ ὀξύφωνοι· καὶ ἔργον τὸ ἄνω ᾄδειν τὰ δὲ βαρέα ῥᾷον.

38. Διὰ τί ῥυθμῷ καὶ μέλει καὶ ὅλως ταῖς συμφωνίαις χαίρουσι πάντες; — Ἢ ὅτι ταῖς κατὰ φύσιν κινήσεσι χαίρομεν κατὰ φύσιν· σημεῖον δὲ τὸ τὰ παιδία

---

4 γέ X, τε CY. 10 ἐκτικοί C, εὐκτικοί XY. 11 ῥᾷον ego, κάτω codd., ἧττον Ru. 13 ἢ om. CY.

---

(1) τὰ ἄνω pr. 3. — Orthium nomum scimus fuisse acutissimum. v. Suidam: Ὄρθιον νόμον καὶ τροχαῖον. τοὺς δύο νόμους ἀπὸ τῶν ῥυθμῶν ὠνόμασε Τέρπανδρος. ἀνατεταμένοι δ' ἦσαν καὶ εὔτονοι, citat Iliad. Λ 11 ἤϋσε θεὰ μέγα τε δεινόν τε ὄρθι'. cf. schol. Aristoph. Acharn. 16: ὁ δὲ ὄρθιος αὐλητικὸς νόμος, οὕτω καλούμενος διὰ τὸ εἶναι εὔτονος καὶ ἀνάτασιν ἔχειν. — Plut. mus. 4 νόμον τροχαῖον citat et ὀξύν, hunc ponens loco orthii. v. etiam Ar. Quint. I 12 p. 30. schol. Pind. Nem. 10, 62. Galenum de loc. affect. IV 13 (K) = VIII 287. orthio opponitur σκολιόν, Plut. mus. 28. dicunt autem τὰ ἐν ταῖς ἀνειμέναις εἶναι σκολιά Athen. XV 49. Tabidi huic Peripatetico vocem acutam emittere videntur, quod parva iis sit copia pulmonis (cf. XI 20. 21. 32. 34. 40. 53. et Arist. supra p. 9, 19); dicentium et canentium voces similes esse hunc fugit. quamquam postremae sententiae glossae mihi videntur recentioris fortasse aetatis. 10 Gaza illud ἐκτικοί habet post ταχὺ φέρεται lin. 9. Pr. 38. κατὰ φύσιν. Ar. pol. VIII 5 ἔχει γὰρ ἡ μουσικὴ ἡδονὴν φυσικήν. cf. poet. 4.

εὐθὺς γενόμενα χαίρειν αὐτοῖς. διὰ δὲ τὸ ἔθος τρόποις μελῶν χαίρομεν. ῥυθμῷ δὲ χαίρομεν διὰ τὸ γνώριμον καὶ τεταγμένον ἀριθμὸν ἔχειν καὶ κινεῖν ἡμᾶς τεταγμένως· οἰκειοτέρα γὰρ ἡ τεταγμένη κίνησις φύσει τῆς ἀτάκτου, ὥστε καὶ κατὰ φύσιν μᾶλλον. σημεῖον δὲ· πονοῦντες γὰρ καὶ πίνοντες καὶ ἐσθίοντες τεταγμένα σώζομεν καὶ αὔξομεν τὴν φύσιν καὶ τὴν δύναμιν, ἄτακτα δὲ φθείρομεν καὶ ἐξίσταμεν αὐτήν. αἱ γὰρ νόσοι τῆς τοῦ σώματος [οὐ] κατὰ φύσιν τάξεως κινήσεις εἰσίν. συμφωνίᾳ δὲ χαίρομεν, ὅτι κρᾶσίς ἐστι λόγον ἐχόντων ἐναντίων πρὸς ἄλληλα. ὁ μὲν οὖν λόγος τάξις, ὃ ἦν φύσει ἡδύ. τὸ δὲ κεκραμένον τοῦ ἀκράτου πᾶν ἥδιον, ἄλλως τε κἂν (αἰσθητὸν ὂν)

9 *οὐ* om. Gz et ed. Isingrini, deleri iussit Bj. 10 *κινήσεις*] *κνήσεις* XY.

Pr. 38. (1) *τὸ ἔθος* cf. 5 (= 40). 2 *τρόποις μελῶν*· flexus melodiae et conversiones hic Peripateticus dicit, ut Plato (republ. III 10 in. IV 3 fin.) et Aristoxenus (in prooemio elementorum harm.. I 25 p. 40 *τοὺς τῶν μελοποιῶν τρόπους*). postea vocabulum transiit in eum usum, ut significaret tonos illos, transposita systemata ut hyperdorium al. (Bacchius § 46 et Alypius in titulis). (9) *νόσοι*· de morbo dicit Aristoteles fr. 41 p. 1482^{a} ^{8}: *ἀναρμοστία δὲ τοῦ ἐμψύχου σώματος νόσος καὶ ἀσθένεια καὶ αἶσχος, ὧν τὸ μὲν ἀσυμμετρία τῶν στοιχείων ἡ νόσος κτλ.* in probl. I 1 morbus dicitur esse aut *ὑπερβολή* aut *ἔλλειψις*. nihil tamen video impedire quin et ipse Aristoteles morbum ita definire potuerit, ut condicionem naturae diceret turbatam. Misceri binas voces consonas iam Pythagorei docuerunt (v. comm. in Ptol. harm. p. 270), etiam Plato (leges II, 9) et Aristoteles (metaph. VII 2, 6. anima III 2, 9). accuratissime hoc exposuit Aelianus Platonis discipulus (Porph. ad Ptol. p. 218. Progr. ann. lyc. Arg. 1891. p. 18). de symphonia aliud est iudicium 27. (12) *ἦν*. paulo ante dixi (lin. 5). (13) *ἄλλως τε κἂν*. vertit Bojesen: „praesertim si mixtum illud quod sensibus percipitur ita comparatum est, ut in diversis rebus, ex quibus compositum est, una quaedam vis et natura appareat." quod ad symphoniam diapason ille revocat, collato pr. 39^{b}. lectio incerta.

ἀμφοῖν τοῖν ἄκροιν ἐξ ἴσου τὴν δύναμιν ἔχῃ ἐν τῇ συμφωνίᾳ ὁ λόγος.

39ª. Διὰ τί ἡδιόν ἐστι τὸ ἀντίφωνον τοῦ ὁμοφώνου; — Ἢ ὅτι τὸ μὲν ἀντίφωνον σύμφωνόν ἐστι διὰ πασῶν. ἐκ παίδων γὰρ νέων καὶ ἀνδρῶν γίνεται τὸ ἀντίφωνον, οἳ διεστᾶσι τοῖς τόνοις ὡς νήτη πρὸς ὑπάτην. συμφωνία δὲ πᾶσα ἡδίων ἁπλοῦ φθόγγου — δι' ἃ δὲ, εἴρηται ⟨pr. 38⟩, καὶ τούτων ἡ διὰ πασῶν ἡδίστη· τὸ ὁμόφωνον δὲ ἁπλοῦν ἔχει φθόγγον.

[39ᵇ.] Μαγαδίζουσι δὲ ἐν τῇ διὰ πασῶν συμφωνίᾳ, ὅτι καθάπερ ἐν τοῖς μέτροις οἱ πόδες ἔχουσι πρὸς αὐτοὺς λόγον ἴσον πρὸς ἴσον ἢ δύο πρὸς ἓν ἢ καί τινα ἄλλον, οὕτω καὶ οἱ ἐν τῇ συμφωνίᾳ φθόγγοι λόγον ἔχουσι κινήσεως πρὸς αὑτούς. τῶν μὲν οὖν ἄλλων συμφωνιῶν ἀτελεῖς αἱ θατέρου καταστροφαί εἰσιν εἰς ἥμισυ τελευτῶσαι· διὸ τῇ δυνάμει οὐκ ἴσαι

---

1 ἐξ ἴσου τὴν] ἐξιοῦσι δὲ C. ἔχῃ] ἔχοι codd. ἐν om. C. 3 ἀντίφωνον Bj. cum Gz., σύμφωνον codd. 4 ὅτι Ru., καὶ codd. 10 Μαγαδίζουσι. hinc incipit probl. 40 Gz. (διὰ τί μαγ.) 16 ἥμισυ Gz. legisse dicitur μέρος. οἷον εἰς ἥμ. Ru².

Pr. 39ª. Nexus est disputationis manifestus: symphonia praestat simplici sono (homophonia autem simplex est sonus), atqui antiphonia consonantiarum perfectissima est: praestat ergo antiphonia homophoniae. Pr. 39ᵇ. „Cur sola in diapason consonantia magadari solitum est?“ Gz. ut pr. 18. (11) ὅτι καθάπερ — οὕτω· simplicis causae loco sequitur expositio iusto longior. οἱ πόδες aut potius οἱ χρόνοι pedum partes. κινήσεως v. ad 35 a. (15) ἀτελεῖς καταστροφαί· imperfectae sunt vibrationum periodi; diapente 1 : 1½, diatessaron 1½ : 2. (16) δυνάμει οὐκ ἴσαι dici videtur, ut in 38 fin. ἂν ἐξ ἴσου τὴν δύναμιν ἔχῃ ὁ λόγος. diapason autem δυνάμει aequum est; possunt enim duo soni, si acutioris binos ictus coniungimus, aequales existimari. sed diapente et diatessaron οὖσαι ἄνισοι

εἰσίν. οὖσαι δὲ ἄνισοι διαφέρειν φαίνονται τῇ αἰσθήσει, καθάπερ ἐν τοῖς χοροῖς * ἐν τῷ καταλύειν μεῖζον ἄλλων φθεγγομένοις ἐστίν. ἔτι δὲ ὑπάτῃ συμβαίνει τὴν αὐτὴν τελευτὴν τῶν ἐν τοῖς φθόγγοις περιόδων ἔχειν. ἡ γὰρ δευτέρα τῆς νεάτης πληγὴ τοῦ ἀέρος ὑπάτη ἐστίν. τελευτώσαις δ' εἰς ταὐτὸν οὐ τοὐτὸν ποιούσαις ἓν καὶ κοινὸν τὸ ἔργον συμβαίνει γίνεσθαι, καθάπερ τοῖς ὑπὸ τὴν ᾠδὴν κρούουσιν. καὶ γὰρ οὗτοι τὰ ἄλλα οὐ προσαυλοῦντες ἐὰν εἰς ταὐτὸν καταστρέφωσιν, εὐφραίνουσι μᾶλλον τῷ τέλει ἢ λυποῦσι

---

1 διαφέρειν φαίνονται ego, διαφορά X, διαφθορά C, διαφθοράν Y. 3 ἄλλων Y, ἄλλον CX. 5 δευτέρα XY, θατέρα C. 6 τελευτώσαις Bk, τελευτῶσα codd.

---

magis discrepant, quam ut continuo canantur. hoc (nescio quibus verbis) in proxima linea scriptum erat. sequitur comparatio quaedam sive a canentium choro sive aliunde petita, lectio tamen nimis corrupta est, quam ut quidquam restituas.

de eius summa 35 hic leguntur redire video in theol. p. 47 Ast, tamen quod addita unitate omnia ad 36 diriguntur et hic potius numerus laudibus ornatur, vereor ne in cogitationibus versemur a Nicomacho alienis.

Excerpta autem haec esse nec propriis verbis Nicomachum loqui vides ex ὅτι illo, quo incipiunt capita 3. 4 al., ex infinitivis orationis obliquae c. 7 in. (cf. 1) et illo *φησίν* c. 8. certius etiam vestigium scriptoris a Nicomacho diversi deprendis, ubi veteri stellarum ordini ad illius sententiam relato opponuntur *οἱ πρῶτοι ἀπὸ τῶν πρὸς ἡμᾶς*, et ubi Nicomachi calamum lapsum esse scriptor suspicatur (c. 3). iam haud est quod repetamus nonnulla inter se discrepare, cum ne in iis quidem quae recentioris originis esse videntur omnia bene concinant. nam in 3 qui recentiorem planetarum ordinem constituit, septem sonos admittit; cap. 8 qui scripsit, is octavum sonum adiungit. ac caelo stellifero vindicatur in 7 cubus numeri 2, in c. 10 numerus 36. subvenisse igitur videmus unum vel plures, qui Nicomachi doctrinas transscriberent et ad suam sententiam redigerent. hi viri a numero XXVIII quo Gerasenus sonos continere docebat, transiisse videntur ad numerum XXXVI, qui tantum valebat in describendis et dividundis circulis. excerptori autem non ignota fuisse harmonica Ptolemaei cum aliis e rebus concludimus[1], tum in c. 5 aperte scriptum legimus. quod si recte in decanis illis interpretandis mentionem

---

1 Ad *βουκανισμούς* et *λύκων ὠρυγμούς* c. 4 cf. Ptolemaei harm. I 4; graves sonos ex ilibus, acutos e capite peti dicunt c. 3 et Pt. III 10, ad *δραστικὰς δυνάμεις* c. 6 iam supra comparavimus Pt. III 9 *δραστικὰς στάσεις*.

feci huius hominis astrologi, etiam binas illas minutas partes ($^2/_{60}$), quibus Saturnus a sphaera stellifera cottidie relinqui dicitur (c. 3) ad huius auctoritatem revocare licebit. Ptolemaeus enim quantopere numeros Babylonios et tota partibus sexagenis divisa amaverit, norunt quicunque eius calculos examinaverunt; apud Nicomachum eiusmodi nihil invenitur.

Quaerentibus autem nobis, quis Nicomachi reliquias in hanc formam redegisse putandus sit, ante omnes in mentem venit Iamblichi. hic enim cum theologumena et artem arithmeticam, alios etiam Nicomachi libros, quorum unum mox considerabimus, suo nomine inscriptos in publicum prodidisset, haec ita excerpsisse et redegisse iam diu putatus est. idemque in hoc repetendi opere verba illa quibus princeps auctor se dixisse aliquid vel dicturum indicat, forma non mutata in suos libros recipere potuit. ut in vita Pythagorica § 119 scripsit *ὡς ἐνέσται δεῖξαι, ὅταν περὶ μουσικῆς λέγωμεν* (cf. Nicom. harm. 7), et secutus est primum illum librum nonus, qui fuit de musica, ita si cum Nicomacho scripsit *ἐν τῷ περὶ ἑβδομάδος ἡμῖν εἴρηται* (exc. 6), ad sua ille theologumena legentes non minus relegare potuit quam qui prior scripserat. ac si discordant horum excerptorum nonnulla inter se et contradicunt, ne hoc quidem alienum puto ab eo, qui de Hippaso pugnantia et discordantia memoriae prodat. (v. supra p. 124.)

De rhythmis metrisque si Nicomachus non disputavit in maiore illo de musica libro, in proprio volumine id fecisse putandus est. Bacchius enim II 93 rhythmum ab eo dictum esse ait temporum motum bene tempera-

tum. et scripsisse eum de arte metrica ut musices parte tertia Aurelianus quoque testatur in Gerberti script. mus. I 34. de arithmetica quidem arte praeter theologumena et isagogen eum scripsisse tertium aliquem librum nolo credere. verba autem *πρὸ ταύτης* quibus Fabricius[1] tertium librum indicari putat, vide ne in ipsa theologumena referri possint; tertius liber his verbis sine articulo positis non citatur. de astris totum librum eum scripsisse puto, quamquam pauca scimus. legimus enim apud Simplicium Aristotelis de caelo interpretem[2]: *εἰ μὴ ἄρα ἡ τῶν ἐκκέντρων κύκλων ὑπόθεσις ὑπὸ τῶν Πυθαγορείων ἐπενοήθη, ὡς ἄλλοι τέ τινες ἱστοροῦσι καὶ Νικόμαχος καὶ Νικομάχῳ κατακολουθῶν Ἰάμβλιχος.* — Geometricam quidem isagogen Nicomachus ipse laudat in arithm. II 44. — de Aegyptiorum autem diebus festis scripseritne hic an alius, quem citet Athenaeus XI 55, parum constat. sed restat ut dicamus de libro perdito, qui his quo utimur longe videtur praestitisse. Iamblichum enim, cum fere omnes Geraseni libros imitatus sit, vitam Pythagoricam ab aliis auctoribus petivisse putabimus? partes ille quidem aliunde hausit, sed citat Nicomachum in § 251, et Porphyrius, cuius liber eodem titulo inscriptus exstat, ipse quoque hunc laudat § 20 et 59. quibus locis usus optima quaeque hausisse eos Rohde docuit e Nicomachi copia (museum Rhenanum XXVI [1871] 563).

1 Fabricius bibl. Gr. V p. 638 Harl. citat Photium bibl. 187: *διαλαμβάνει ⟨ἐν τοῖς θεολογουμένοις⟩ οὐχ ὥσπερ ἐν τῇ ἀριθμητικῇ αὐτοῦ καὶ πρὸ ταύτης εἰσαγωγῇ . . . διεξιών, ἀλλὰ κτλ.* haud scio an interpreter: quam ille ipse et ante hanc introductionem scripsit.

2 Simplicius p. 227 Karsten = scholia Bekkeri p. 503[b].

vitam autem magistri cum Gerasenus quoque scripserit, fabulam, quae de Pythagora fabri malleos audiente narratur quaeque in Iamblichi libro repetitur, ab initio in illius vita Pythagorica, non in harmonico manuali scriptam fuisse putaverim. Apolloni etiam Tyanei vitam eum scripsisse concluseris e loco Sidoni Apollinaris.[1]

Manuale harmonices l. II edidit Meursius Lugd. Bat. 1606 (transiit etiam in Meursi opera omnia. vol. VI. Florentiae 1745). Meibomius edidit Amstelod. 1652. Francogallice vertit Ruelle in Annuaire de l'association pour l'encouragement des études grecques. 1880 (et apud Baur 1881).

Continet autem verum manuale solum is codex, quem reliquis praestare plurimis locis vidi:

R = Vat. 198

et qui ex eo transscriptus est N(eap. III C 3).

Duos Nicomachi libros se exhibere simulant:

M = Marciani VI 3 margines f. 17 ss.

B = Bernensis

et qui videtur Marciani esse filius U(en. 322). nam qui ex ipso U sint transscripti, enumerare non oportet. ad excerpta emendanda magnopere pertinuit N(eap. III 2). cf. p. 226. de Lugd. Voss. vide, quae universo libro praemisi.

1 Sidon. Apoll. VIII 7. Apollonii Pythagorici vitam non ut Nicomachus senior e Philostrati, sed ut Tascius Victorianus e Nicomachi schedio exscripsit, quia iusseras, misi.

ΝΙΚΟΜΑΧΟΥ ΓΕΡΑΣΗΝΟΥ

ΑΡΜΟΝΙΚΟΝ ΕΓΧΕΙΡΙΔΙΟΝ

ΥΠΑΓΟΡΕΥΘΕΝ ΕΞ ΥΠΟΓΥΟΥ

ΚΑΤΑ ΤΟ ΠΑΛΑΙΟΝ.

Νικομάχου Γερασηνοῦ Πυθαγορείου ἁρμονικοῦ ἐγχειριδίου κεφάλαια.

α. *Ὅτι τὸ βιβλίον ἐγχειρίδιόν ἐστιν ὑπόμνημα τῆς ἁρμονικῆς στοιχειώσεως.*

β. *Περὶ τῶν δύο τῆς φωνῆς εἰδῶν, τοῦ τε διαστηματικοῦ καὶ τοῦ συνεχοῦς, καὶ περὶ τόπων αὐτῶν.*

γ. *Ὅτι ἡ πρώτη ἐν αἰσθητοῖς μουσικὴ περὶ τοὺς πλάνητας θεωρεῖται, κατὰ μίμησιν δὲ ἐκείνης ἡ παρ' ἡμῖν.*

δ. *Ὅτι κατὰ ἀριθμὸν οἰκονομεῖται τὰ ἐν τοῖς φθόγγοις.* (p. 2 Meib.)

ε. *Ὅτι τῇ ἑπταχόρδῳ λύρᾳ τὴν ὀγδόην Πυθαγόρας προσθεὶς τὴν διὰ πασῶν συνεστήσατο ἁρμονίαν.*

ς. *Πῶς οἱ ἀριθμητικοὶ τῶν φθόγγων λόγοι εὑρέθησαν.*

ζ. *Περὶ τῆς κατὰ τὸ διάτονον γένος διαιρέσεως τοῦ διὰ πασῶν.*

η. *Ἐξήγησις τῶν ἐν Τιμαίῳ ἁρμονικῶς εἰρημένων.*

θ. *Μαρτυρία τῶν εἰρημένων ἀπὸ τοῦ Φιλολάου.*

ι. *Περὶ τῆς διὰ τῶν ἀριθμητικῶν λόγων ἁρμόσεως τῶν φθόγγων.*

ια. *Περὶ τοῦ δὶς διὰ πασῶν κατὰ τὸ διάτονον γένος.*

ιβ. *Περὶ τῆς κατὰ τὰ τρία γένη τῶν φθόγγων προβάσεως καὶ διαιρέσεως.*

Hunc habet titulum tabulae capitum inscriptum R, alterum titulum (ut p. 237) hic habent rel. *Γηραςςηνοῦ* M. *Πυθαγορικοῦ* MB. *ἁρμονικῆς* MB. *ὑπογίου* B. *Βιβλίον πρῶτον* addit B.) Numeros α β cet. om. RB. 7 *πλανήτας* M. 8 *ἐκείνης* R, *ἐκείνων* MB. 10 *τῇ* MB, om. R. *ὁ Πυθ.* MB. 11 *τὴν* om. M. 12 *ηὑρέθ.* M. 16 *διὰ* om. B. 17 *φθόγγων* MB, *λόγων* R. 18 *γένος* RM, *μέλος* B. 19 *τὰ* om. R. *προβάσεώς τε* MB.

ΝΙΚΟΜΑΧΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ ΓΕΡΑΣΗΝΟΥ

ἁρμονικὸν ἐγχειρίδιον ὑπαγορευθὲν ἐξ ὑπογύου κατὰ τὸ παλαιόν.

1. Ὅτι τὸ βιβλίον ἐγχειρίδιόν ἐστιν ὑπόμνημα τῆς ἁρμονικῆς στοιχειώσεως.

α. Εἰ καὶ πολύχους καθ' ἑαυτὸν καὶ δυσπερίληπτος ἑνὶ συμπερανθῆναι ὑπομνήματι ὁ περὶ τῶν ἐν τοῖς ἁρμονικοῖς στοιχείοις διαστημάτων τε καὶ σχέσεων ὑπάρχει λόγος, ἐγώ τε ἄλλως ὑπὸ τῆς ὁδοιπορικῆς ἀκαταστασίας καὶ συνεπείξεως οὐκ ἀκυμάντῳ τοῦ λόγου φροντίδι καὶ διανοίᾳ δυνατός εἰμι τῇ περὶ τούτων ἐπιβαλέσθαι διδασκαλίᾳ μετὰ τῆς προσηκούσης σαφηνείας σχολαίου μάλιστα καὶ ἀπερισπάστου δεομένης καιροῦ τε καὶ συλλογισμοῦ, — πᾶσαν ὅμως ἐπιρρωστέον ἐστί μοι (p. 3) σπουδὴν σοῦ γε κελευούσης, ἀρίστη καὶ σεμνοτάτη γυναικῶν, κἂν αὐτὰ ψιλὰ τὰ

---

1 Hunc tit. h. R, *ικομάχου γερασσηνοῦ πυθαγορικοῦ* M, om. B. 3 *ἁρμονικῆς* M. *Προοίμιον, κεφάλαιον πρῶτον* B. 6 Repetit capitum titulos solus B; numeros capitum indicat N. 8 *ὁ περὶ τῶν ἐν* R, *ὁ παρὰ τοῦ ἐν* N, *παρὰ* M, *τῶν παρὰ* B. 11 *τοῦ* B, *τὸ τοῦ* RM. 12 *φροντίδι* R, *φορτίον* MB. 16 *σπουδήν* add. M¹. 17 *κἂν* RB, *ἂν* M.

κεφάλαια χωρὶς κατασκευῆς καὶ ποικίλης ἀποδείξεως ἐκθέσθαι σοι κατ' ἐπιδρομήν· ἵνα ὑπὸ μίαν ἔχουσα αὐτὰ σύνοψιν ἐγχειριδίῳ τε ὡσανεὶ χρωμένη τῇ βραχείᾳ ταύτῃ ὑποσημειώσει ὑπομιμνήσκῃ ἐξ αὐτῆς τῶν ἐν ἑκάστῳ κεφαλαίῳ κατὰ πλάτος λεγομένων τε καὶ διδασκομένων. θεῶν δὲ ἐπιτρεπόντων αὐτίκα μάλα σχολῆς λαβόμενος καὶ τῆς ὁδοιπορίας ἀνάπαυσιν σχὼν συντάξω τέ σοι μείζονα καὶ ἀκριβεστέραν εἰσαγωγὴν περὶ αὐτῶν τούτων καὶ πλήρει τὸ λεγόμενον συλλογισμῷ διηρθρωμένην καὶ ἐν πλείοσι βιβλίοις, καὶ διὰ τῆς πρωτίστης ἀφορμῆς ἀποπέμψω, ἔνθα ἂν διάγειν ὑμᾶς πυνθανώμεθα. τὴν δὲ ἀρχὴν ἐκεῖθέν ποθεν ποιήσομαι ῥᾴονος ἕνεκα παρακολουθήσεως, ὅθεν καὶ ἡνίκα ἐξηγούμην σοι περὶ αὐτῶν τούτων τὴν τῆς διδασκαλίας ἐποιησάμην ἀρχήν.

2. *Περὶ τῶν δύο τῆς φωνῆς εἰδῶν, τοῦ τε διαστηματικοῦ καὶ τοῦ συνεχοῦς, καὶ τῶν τόπων αὐτῶν.*

β. Τῆς ἀνθρωπίνης φωνῆς οἱ ἀπὸ τοῦ Πυθαγορικοῦ διδασκαλείου δύο ἔφασκον ὡς ἑνὸς γένους εἴδη ὑπάρχειν· καὶ τὸ μὲν συνεχὲς ἰδίως ὠνόμαζον, τὸ δὲ διαστηματικόν ἀπὸ τῶν ἑκατέρῳ συμβεβηκότων τὰς κλήσεις ποιούμενοι. τὸ μὲν γὰρ διαστηματικὸν τὸ ἔνῳδον καὶ ἐπὶ παντὶ φθόγγῳ ἱστάμενον καὶ δήλην ποιοῦν τὴν ἐν ἅπασι τοῖς μέρεσι παραλλαγὴν ὑπελάμβανον ἀσύγχυτόν τε ὑπάρχον καὶ τοῖς μεγέθεσι τοῖς

1 ἀπ. ἐκθ. MB, ἐκθ. ἀπ. R. 4 ὑποσημειώσει MB, ὑπομειώσει R. 9 πλήρει RB, πλήρη M. συλλογισμῷ RB, συλλογισμῶν M. 12 ὑμᾶς MB, ἡμᾶς R. 13 ῥάονος RB, ῥᾶον ὡς M. 19 διδασκάλου M. δύο ἔφ.] διέφ. R. γένους om. B. 23 ἐπὶ R, ἐν MB.

καθ' (p. 4) ἕκαστον φθόγγον διηρθρωμένον καὶ διεστὼς, ὥσπερ κατὰ σωρείαν καὶ οὐ κατ' ἔγκρασιν τῶν τῆς φωνῆς μορίων ἀλλήλοις παρακειμένων, εὐχωρίστων τε καὶ εὐδιαγνώστων καὶ παντοίως μὴ συνεφθαρμένων. τὸ γὰρ ἔνῳδον τοιοῦτόν ἐστι τὸ πάντας ἐμφαῖνον τοῖς ἐπιστήμοσι τοὺς φθόγγους, ἡλίκου ἕκαστος μεγέθους μετέχει. εἰ γὰρ μὴ οὕτως τις χρῷτο αὐτῷ, οὐκέτι ᾄδειν λέγεται ἀλλὰ λέγειν. τὸ δὲ ἕτερον τὸ συνεχὲς, καθ' ὃ ὁμιλοῦμεν τε ἀλλήλοις καὶ ἀναγινώσκομεν, οὐδεμίαν ἔχοντες ἀνάγκην ἐμφανεῖς τὰς τῶν φθόγγων τάσεις καὶ διακεκριμένας ἀπ' ἀλλήλων ποιεῖσθαι, ἀλλὰ εἴροντες τὸν λόγον ἕως τῆς τοῦ φραζομένου τελειώσεως. εἰ γάρ τις ἢ διαλεγόμενος ἢ ἀπομνημονεύων τινος ἢ ἀναγιγνώσκων γε ἔκδηλα μεταξὺ καθ' ἕκαστον φθόγγον ποιεῖ τὰ μεγέθη, διιστάνων καὶ μεταβάλλων τὴν φωνὴν ἀπ' ἄλλου εἰς ἄλλον, οὐκέτι λέγειν ὁ τοιοῦτος οὐδὲ ἀναγινώσκειν ἀλλὰ μελεάζειν λέγεται. διμεροῦς δὴ ὑπαρχούσης τῆς ἀνθρώπου φωνῆς, δύο εἰκότως καὶ τόπους, οὓς ἑκατέρα κατέχει διερχομένη, ᾤοντο εἶναι. καὶ τὸν μὲν τῆς συνεχοῦς τόπον ἀόριστον φύσει τῷ μεγέθει ὑπάρχειν, ἀφ' οὗ ἂν ἄρξηται ὁ λαλῶν μέχρις ἂν παύσηται, τὸ οἰκεῖον πέρας λαμβάνοντα, τουτέστι τὸν ἀπὸ τῆς πρώτης λαλιᾶς μέχρις ἐσχάτης σιωπῆς, ὥστε τὸ πλέον (p. 5) αὐτοῦ ἐφ' ἡμῖν ὑπάρχειν· τὸν δὲ τῆς διαστηματικῆς οὐκέτι ἐφ' ἡμῖν, ἀλλὰ φυσικὸν,

1 διηρθρωμένον RB, διηρημένοις M. 3 εὐχωρίστων om. B. 7 μετέχει corr. R, ὑπάρχει R¹. 12 τοῦ om. R. 13 ἀπομνημονεύων τινός R, ἀπολογούμενός τινος B, ἀπολογούμενός τινι M. 16 ἄλλον MB, ἄλλο R. 17 μελίζειν B. 18 δή R, οὖν MB. τῆς om. M¹. ἀνθρ. R, τοῦ ἀνθρ. MB. δύο RB, δυοῖν M. 21 οὗ ἄν MB, οὗ R. 23 πρώτης R, πρωτίστης MB.

ὁριζόμενον καὶ αὐτὸν ὑπὸ διαφερόντων ἐνεργημάτων· ἀρχὴν μὲν γὰρ αὐτοῦ τὸ πρῶτον ἀκουστὸν εἶναι, τέλος δὲ τὸ ἔσχατον φωνητόν. ἐκεῖθεν γὰρ ἀρχόμεθα συνιέναι καὶ συνορᾶν τῶν φθόγγων τὰ μεγέθη καὶ τὰς πρὸς ἀλλήλους παραλλαγάς, ὅθεν ἂν πρώτιστα ἡμῖν ἡ ἀκοὴ ἐνεργεῖν φαίνηται, δυνατοῦ ὄντος ἀμυδροτέρας φωνὰς καὶ μήπω ἡμῖν αἰσθητὰς ἐν τῇ φύσει συντελεῖσθαι λανθανούσας ἔτι τὴν ἀκοήν. καθ' ἃ λόγου χάριν κἂν τοῖς ζυγικοῖς ἔστι τινὰ σώματα ἥκιστα βάρους ἐμφαντικά, ἄχναι ἢ πίτυρα ἢ τοιαῦθ' ἕτερα· ἀλλ' ὅταν κατ' ἐπισύνθεσιν τῶν τοιούτων ἤδη ῥοπῆς ἀρχή τις ἐμφαίνηται, τότε τῆς ζυγικῆς ἐπιστήμης φαμὲν τὴν πρώτην ὑποδρομὴν ὑπάρχειν. οὕτω καὶ κατὰ βραχὺ τῆς κατὰ τὴν φωνὴν ἀμυδρότητος ἐπὶ τὸ μεῖζον αὐξανομένης τὸ πρώτιστον ἀκοῇ αἰσθητὸν ἀρχὴν τοῦ τῆς ἐνῳδοῦ φωνῆς τόπου ποιούμεθα. τέλος δὲ αὐτοῦ οὐκέτι ἡ ἀκοὴ ὁρίζει, ἀλλ' ἡ ἀνθρωπίνη φωνή. ἐφ' ὅσον γὰρ ἐφικνεῖται δι' ἐμμελείας καὶ ἐνῳδῶς προχωρεῖ, μέχρι τούτου τὸ τελευταῖον πέρας τοῦ τῆς τοιαύτης φωνῆς τόπου ὁρίζομεν. μηδὲν δ' ἡμῖν διαφερέτω τοσοῦτον, εἴτε ἐπὶ τῆς ἀρτηριακῆς ἡμῶν φωνῆς εἴτε ἐπὶ τῆς τῶν ὀργάνων ἐντατῶν τε καὶ ἐμπνευστῶν καὶ κρου-(p. 6)στῶν ποιούμεθα τὸν λόγον κατὰ μίμησιν τῆς ἡμετέρας συντελεσθέντων· ὑπερθώμεθα δ' ἐπὶ τοῦ παρόντος τὴν ἐν τούτοις διαφορὰν, ἵνα μὴ σκορπίζωμεν εὐθὺς ἐν ἀρχῇ τὴν ἐξήγησιν.

---

1 ὁρίζομεν R. 5 ἀλλήλας R. 9 σωματικὰ R. 14 τὴν om. M. 21 ἀρτηρικῆς R. ἡμῶν RB, ἡμῖν M. τῆς om. M. 24 post συντ. add. φωνῆς M^5.

3. *Ὅτι ἡ πρώτη ἐν αἰσθητοῖς μουσικὴ περὶ τοὺς πλάνητας θεωρεῖται κατὰ μίμησιν δ' ἐκείνης ἡ παρ' ἡμῖν.*

γ. *Τὰ μὲν οὖν ὀνόματα τῶν φθόγγων ἀπὸ τῶν κατ' οὐρανὸν ἰόντων ἑπτὰ ἀστέρων καὶ τὴν γῆν περιπολευόντων πιθανὸν ὠνομάσθαι. πάντα γὰρ τὰ ῥοιζούμενά φασι σώματα καθυπείκοντός τινος καὶ ῥᾷστα κυμαινομένου ψόφους ἀναγκαίως ποιεῖν μεγέθει καὶ φωνῆς τόπῳ παρηλλαγμένους ἀλλήλων ἤτοι παρὰ τοὺς ἑαυτῶν ὄγκους ἢ παρὰ τὰς ἰδίας ταχυτῆτας ἢ παρὰ τὰς ἐποχάς, ἐν αἷς ἡ ἑκάστου ῥύμη συντελεῖται, εὐκυμαντοτέρας ἢ τοὐναντίον δυσπαλεῖς ὑπαρχούσας. αἱ δὲ τρεῖς αὗται διαφοραὶ τρανῶς ὁρῶνται περὶ τοὺς πλάνητας μεγέθει τε καὶ τάχει καὶ τόπῳ διεστῶτας ἀλλήλων καὶ διὰ τοῦ αἰθερίου ἀναχύματος διηνεκῶς καὶ ἀστάτως ῥοιζουμένους. ἔνθεν γὰρ καὶ τοῦ ἀστὴρ ὀνόματος τέτευχεν ἕκαστος οἷον στάσεως ἐστερημένος καὶ ἀεὶ θέων, παρ' ὃ καὶ θεὸς καὶ αἰθὴρ ὠνοματοπεποίηται. ἀλλ' ἀπὸ μὲν τοῦ κρονικοῦ κινήματος ἀνωτάτου ὄντος ἀφ' ἡμῶν ὁ βαρύτατος ἐν τῷ διὰ πασῶν φθόγγος ὑπάτη ἐκλήθη, ὕπατον γὰρ τὸ ἀνώτατον. ἀπὸ δὲ τοῦ σεληνιακοῦ κατωτάτου πάντων καὶ περιγειοτέρου κειμένου νεάτη· καὶ γὰρ νέατον τὸ κατώτατον* (p. 7). *ἀπὸ δὲ τῶν παρ' ἑκάτερον τοῦ μὲν*

---

2 *ἐκείνων* B, sed vide supra. 5 *περιπολούντων* R. 6 *καθ' ὑπείκ.* libb. 7 *μεγέθει καὶ φωνῆς τόπῳ* RM¹, *μ. καὶ τάχει φωνῆς τόπῳ* B, *μ. καὶ τάχει φωνῆς καὶ τόπῳ* M², *μ. καὶ τάχει καὶ τόπῳ* exc. Neap. III C 3 f. 2, *μ. τε καὶ τάχει καὶ τόπῳ* Bryenn. harm. I 1 p. 364. 8 *ἀλλήλων παρηλλαγμένους* exc. Neap. 9 *ὄγκους* RB², *φθόγγους* MB¹. *ταχύτητας ὄγκους* B. 11 *εὐκυμαντοτέρους* R. 13 *τάχει* MB, *πάχει* R. 16 *ἕκαστος τέτευχεν* R. 19 *ἀνωτάτῳ* B. 21 *κατωτάτου* M, exc. (olim dicta lib. II), *κατωτάτῳ* RB.

ὑπὸ τὸν Κρόνον, ὃς ἐστι Διὸς, παρυπάτη· τοῦ δ' ὑπὲρ Σελήνην, ὃς ἐστιν Ἀφροδίτης, παρανεάτη. ἀπὸ δὲ τοῦ μεσαιτάτου, ὃς ἐστιν ἡλιακοῦ τετάρτου ἑκατέρωθεν κειμένου, μέση διὰ τεσσάρων πρὸς ἀμφότερα ἄκρα ἔν γε τῇ ἑπταχόρδῳ κατὰ τὸ παλαιὸν διεστῶσα καθάπερ καὶ ὁ Ἥλιος ἐν τοῖς ἑπτὰ πλάνησιν ἑκατέρωθέν ἐστι τέταρτος, μεσαίτατος ὤν. ἀπὸ δὲ τῶν παρ' ἑκάτερα τοῦ Ἡλίου Ἄρεος μὲν μεταξὺ Διὸς καὶ Ἡλίου τὴν σφαῖραν εἰληχότος ὑπερμέση ἡ καὶ λιχανός. Ἑρμοῦ δὲ τὸ μεταίχμιον Ἀφροδίτης καὶ Ἡλίου κατέχοντος παραμέση. περὶ ὧν ἀκριβέστερον καὶ μετὰ γραμμικῶν καὶ ἀριθμητικῶν ἀποδείξεων πληρέστατά σοι βεβαιώσομεν, ἐν οἷς προϋπεσχόμεθά σοι ὑπομνήμασι, σεμνοτάτη γυναικῶν καὶ φιλοκαλωτάτη, καὶ δι' ἃς αἰτίας ταύτης ἡμεῖς οὐκ ἐπακούομεν τῆς κοσμικῆς συμφωνίας κατακορές τι καὶ παναρμόνιον ὡς ὁ λόγος ὑπογράφει φθεγγομένης. τὸ νῦν δὲ ἐπιτροχαστέον διὰ τὴν τοῦ καιροῦ ὀξύτητα περὶ τῶν ἑξῆς.

4. Ὅτι κατ' ἀριθμὸν οἰκονομεῖται τὰ ἐν τοῖς φθόγγοις.

δ. Καθόλου γάρ φαμεν ψόφον μὲν εἶναι πλῆξιν ἀέρος ἄθρυπτον μέχρι ἀκοῆς· [φθόγγον δὲ φωνῆς

---

1 ὃς om. libb., ὅ exc. 2 ὃς BM⁴, ὅ RM¹ exc. pro Ἀφρ. habent ἑρμοῦ exc. N. 3 ἡλίου exc. N. 5 ἐν δὲ τῇ libb. 10 ἀφροδίτης δὲ τὸ μετ. ἑρμοῦ κ. ἡλ. κατεχούσης exc., idem significant planetarum imagines in M⁴. μεσαίχμιον R. 11 περὶ om. M. 14 σεμνοτάτη R, σοφωτάτη MB. 18 B habet orbium figuram, quae duos stellarum ordines apud Pachymerem (Vincent p. 408) designatos uno orbium ordine comprehendit. 20 γὰρ om. B. 21 ἄθρυπτον] an ἀθρύπτου? (Theo p. 50, 7.)

Κρόνος	Ζεύς	Ἄρης	Ἥλιος	Ἑρμῆς	Ἀφροδίτη	Σελήνη
Ὑπάτη	παρυπάτη	ὑπερμέση	Μέση	παραμέση	παρανεάτη	νεάτη
e	f	g	a	b	c′	d′
mi$_2$	fa$_2$	sol$_2$	la$_2$	si^b	do$_3$	re$_3$.

ἐμμελοῦς ἁπλατῆ τάσιν· τάσιν δὲ μονήν τινα καὶ ταὐτότητα κατὰ μέγεθος φθόγγου ἀδιαστάτου. διάστημα δὲ ὁδὸν ποιὰν (p. 8) ἀπὸ βαρύτητος εἰς ὀξύτητα ἢ ἀνάπαλιν· σύστημα δὲ πλεόνων ἑνὸς διαστημάτων σύνθεσιν.] πολλοῦ μὲν οὖν πλήγματος ἢ πνεύματος εἰς τὸν πέριξ ἀέρα ἐμπεσόντος καὶ κατὰ πολλὰ μέρη πλήξαντος αὐτὸν μεγάλην ἀποτελεῖσθαι φωνήν, ὀλίγου δὲ μικράν, καὶ ὁμαλοῦ μὲν λείαν, ἀνωμάλου δὲ τραχεῖαν, καὶ βραδέως μὲν ἐνεχθέντος βαρεῖαν, ταχέως δὲ ὀξεῖαν. ἐναντιοπαθεῖν δὲ ἀναγκαίως τὰ ἐμπνευστὰ ὄργανα οἷον αὐλοὺς σάλπιγγας σύριγγας ὑδραύλους καὶ τὰ ὅμοια τοῖς ἐντατοῖς κιθάρᾳ λύρᾳ σπάδικι τοῖς παραπλησίοις. μέσα δ' αὐτῶν καὶ οἷον κοινὰ καὶ ὁμοιοπαθῆ τά τε μονόχορδα φαίνεσθαι, ἃ δὴ καὶ φανδούρους καλοῦσιν οἱ πολλοί, κανόνας δ' οἱ Πυθαγορικοί, καὶ τὰ τρίγωνα τῶν ἐντατῶν καὶ τοὺς πλαγιαύλους μετὰ τῶν φωτίγγων, ὡς προιὼν ὁ λόγος δηλώσει. τῶν μέν γε ἐντατῶν αἱ τάσεις αἱ μείζονες καὶ εὐτονώτεραι μείζονας καὶ ὀξυτέρους φθόγγους ἀπεργάζονται, αἱ δ' ὀλιγώτεραι νωχελεστέρους τε καὶ βαρυτέρους. μεταστήσαντος γὰρ τὰς χορδὰς τοῦ πλήκτρου, ἀπὸ τῆς οἰκείας χώρας ἀφεθεῖσαι αἱ μὲν τάχιστά τε σὺν πολλῷ τῷ κραδασμῷ καὶ πολλαχοῦ τὸν περικείμενον ἀέρα τύπτουσαι ἀποκαθίστανται ὥσπερ ἐπειγόμεναι ὑπ' αὐτῆς τῆς σφοδρᾶς τάσεως, αἱ δὲ ἠρέμα καὶ ἀκραδάντως κατ'

φθόγγον κτλ. cf. prooemium p. 220. in M haec artius comprimuntur, fortasse sunt recentiora.

3 ὁδὸν ποσὴν R. 4 πλεόνων RM, πλειόνων B. 9 βραδέως δὲ R. 11 ὑδραύλους M¹B, ὕδραυλα RM⁴. 12 καὶ RB¹, om. MB². σπάδικι M, σπαδίκι B, σπάδακι R. 14 καὶ R, om. MB. πανδούρους B. 16 παγιαύλους R. 23 πολλαχοῦ R, πολλαχῇ MB. τύπτουσαι BM⁴, τύπτοντι R, sim. M¹. 24 ἀπ' αὐτῆς R.

εἰκόνα τῆς τεκτονικῆς στάθμης. ἀνάπαλιν δὲ τῶν ἐμπνευστῶν αἱ μείζονες (p. 9) κοιλιώσεις καὶ τὰ μείζονα μήκη νωθρὸν καὶ ἔκλυτον. εἰ γὰρ πολλῇ [λειποτονῆσαν] παραπομπῇ τὸ πνεῦμα ἐξίησιν εἰς τὸν πέριξ ἀέρα καὶ δυσεμφάτως αὐτὸν πλήσσει καὶ κινεῖ, καὶ βαρὺς οὕτως ὁ φθόγγος γίνεται. ἐπινοητέον δὲ ἐνταῦθα τὸ μᾶλλον καὶ τὸ ἧττον κατὰ ποσότητα συμβαίνειν, ἣν ἐπιτείνοντες αὐτοὶ καὶ ἀνιέντες ἢ μῆκος τοῖς κοίλοις ἢ βραχύτητα ἐνεργαζόμενοι ἀποτελοῦμεν. διὰ δὲ τοῦτο εὔδηλον, ὅτι ἀριθμῷ πάντα οἰκονομεῖται ταῦτα· ποσότης γὰρ οὐδενὸς ἄλλου ἀλλὰ ἀριθμοῦ ἰδία νοεῖται.

5. *Ὅτι τῇ ἑπταχόρδῳ λύρᾳ τὴν ὀγδόην ὁ Πυθαγόρας προσθεὶς τὴν διὰ πασῶν συνεστήσατο ἁρμονίαν.*

ε. *Πυθαγόρας δὲ πάμπρωτος — ἵνα μὴ κατὰ συναφὴν ὁ μέσος φθόγγος πρὸς ἀμφότερα τὰ ἄκρα ὁ αὐτὸς συγκρινόμενος διαφορουμένην παρέχῃ μόνην τὴν διὰ τεσσάρων συμφωνίαν, πρός τε τὴν ὑπάτην καὶ πρὸς τὴν νήτην, ποικιλωτέραν δὲ θεωρίαν ἐνορᾶν ἔχωμεν καὶ τῶν ἄκρων αὐτῶν ἀλλήλοις τὴν κατακορεστάτην συναποτελούντων συμφωνίαν τουτέστι τὴν διὰ πασῶν τὸν διπλάσιον ἔχουσαν λόγον, ὅπερ ἐκ τῶν δύο τετραχόρδων συμβῆναι οὐκ ἐδύνατο, — παρενέθηκεν*

---

2 *κοιλιώσεις* cf. 254, 10. 255, 18. 3 *ἔκλυτον* scil. *ποιοῦσι τὸν φθόγγον*. *εἰ γὰρ*] *τῇ γὰρ* M¹, *τῇ* RBM¹. *λειπονονῆσαν* BM², *λειποτονῆσα* U, *λειποτονήσαντι* R. dicit Nicomachus: nam si longo cursu debilitatus minusque intensus spiritus exit et aerem leniter ferit . . . 7 *ἣν* MB, *ἢ* R. 8 *αὐτοὶ* RM, *αὐτόν* B. *κοίλοις*] *κώλοις* libri. 9 *διὰ* ego, *εἰ* libb., *ἔστι* coni. Meib. 10 *εὔδηλον* R, *δῆλον* MB. *ταῦτα πάντα οἰκ.* MB. *ποσότητος* M. 14 *συναφὴς* M. 18 *δὲ* om. B. 19 *ἔχομεν* M¹. 21 *διπλάσιον* R in ras.

ὄγδοόν τινα φθόγγον μεταξὺ μέσης καὶ παραμέσης ἐνάψας καὶ ἀποστήσας ἀπὸ μὲν τῆς μέσης ὅλον τόνον, ἀπὸ δὲ τῆς παραμέσης ἡμιτόνιον· ὥστε τὴν μὲν προτέραν ἐν τῇ ἑπταχόρδῳ παραμέσην οὖσαν τρίτην ἔτι ἀπὸ νήτης καλεῖσθαί τε καὶ οὐδὲν ἧττον κεῖσθαι, τὴν δὲ παρεντεθεῖσαν (p. 10) τετάρτην μὲν ἀπὸ τῆς νήτης ὑπάρχειν, συμφωνεῖν δὲ πρὸς αὐτὴν τὴν διὰ τεσσάρων συμφωνίαν, ἥνπερ καὶ ἡ ἐξ ἀρχῆς μέση πρὸς τὴν ὑπάτην εἶχεν. ὁ δὲ μεταξὺ ἀμφοτέρων τόνος μέσης τε καὶ παρεντεθείσης, ὀνομασθείσης δὲ ἀντὶ τῆς προτέρας παραμέσης, ὁποτέρῳ ἂν τετραχόρδῳ προστεθῇ, εἴτε τῷ πρὸς τῇ ὑπάτῃ νητοειδέστερος, εἴτε τῷ πρὸς τῇ νήτῃ βομβυκέστερος, τὴν διὰ πέντε συμφωνίαν ἀποδείξει, σύστημα ἑκατέρων ὑπάρχουσαν αὐτοῦ τε τοῦ τετραχόρδου καὶ τοῦ προσγενομένου τόνου. ὥσπερ καὶ ὁ τῆς διὰ πέντε λόγος ὁ ἡμιόλιος σύστημα εὑρίσκεται ἐπιτρίτου τε ἅμα καὶ ἐπογδόου· ὁ ἄρα τόνος ἐπόγδοον.

6. *Πῶς οἱ ἀριθμητικοὶ τῶν φθόγγων λόγοι ηὑρέθησαν.*

5. Τὴν δὲ κατ' ἀριθμὸν ποσότητα ταύτην ἥτε διὰ τεσσάρων χορδῶν ἀπόστασις ἥτε διὰ πέντε καὶ ἡ κατ' ἀμφοτέρων σύνοδον διὰ πασῶν λεγομένη καὶ ὁ προσκείμενος μεταξὺ τῶν δύο τετραχόρδων τόνος τρόπῳ τινὶ τοιούτῳ ὑπὸ τοῦ Πυθαγόρου καταληφθέντι ἔχειν ἐβεβαιοῦτο. ἐν φροντίδι ποτὲ καὶ διαλογισμῷ

---

3 παρα R sup. lin. 4 τῇ MB, exc. Neap., τῷ R. 6 τῆς om. MB. 8 ἡ om. B. 10 δὲ om. M. 12 τῷ om. MB. 13 βομβυδέστ. R. 14 ἑκατέρων R (ν in ras.), ἑκατέρωσε MB, ἑκατέρωθεν exc. Neap. 16 τῆς RB, om. M. ὁ om. RB. 17 ἐπόγδοον RM¹, ἐπόγδοος B. 21 ὁ om. M. 23 καταληφθέντα M (et B?). 24 ἐβεβαιοῦτο R, ἐβεβαιώθη MB.

συντεταμένῳ ὑπάρχων, εἰ ἄρα δύναιτο τῇ ἀκοῇ βοηθειάν τινα ὀργανικὴν ἐπινοῆσαι παγίαν καὶ ἀπαραλόγιστον, οἵαν ἡ μὲν ὄψις διὰ τοῦ διαβήτου καὶ διὰ τοῦ κανόνος ἢ καὶ διὰ τῆς διόπτρας ἔχει, ἡ δ' ἀφὴ διὰ τοῦ ζυγοῦ ἢ διὰ τῆς τῶν μέτρων ἐπινοίας, παρά τι χαλκοτυπεῖον περιπατῶν ἔκ τινος δαιμονίου συντυχίας ἐπήκουσε ῥαιστήρων σίδηρον ἐπ' ἄκμονι ῥαιόντων καὶ τοὺς ἤχους παραμὶξ πρὸς (p. 11) ἀλλήλους συμφωνοτάτους ἀποδιδόντων πλὴν μιᾶς συζυγίας· ἐπεγίνωσκε δ' ἐν αὐτοῖς τὴν δὲ διὰ πασῶν καὶ τὴν διὰ πέντε καὶ τὴν διὰ τεσσάρων συνῳδίαν. τὴν δὲ μεταξύτητα τῆς τε διὰ τεσσάρων καὶ τῆς διὰ πέντε ἀσύμφωνον μὲν ἑώρα αὐτὴν καθ' ἑαυτήν, συμπληρωτικὴν δὲ ἄλλως τῆς ἐν αὐτοῖς μείζονος. ἄσμενος δὴ ὡς κατὰ θεὸν ἀνυομένης αὐτῷ τῆς προθέσεως εἰσέδραμεν εἰς τὸ χαλκεῖον καὶ ποικίλαις πείραις παρὰ τὸν ἐν τοῖς ῥαιστῆρσιν ὄγκον εὑρὼν τὴν διαφορὰν τοῦ ἤχου, ἀλλ' οὐ παρὰ τὴν τῶν ῥαιόντων βίαν οὐδὲ παρὰ τὰ σχήματα τῶν σφυρῶν οὐδὲ παρὰ τὴν τοῦ ἐλαυνομένου σιδήρου μετάθεσιν, σηκώματα ἀκριβῶς ἐκλαβὼν καὶ ῥοπὰς ἰσαιτάτας τῶν ῥαιστήρων πρὸς ἑαυτὸν ἀπηλλάγη. καὶ ἀπό τινος ἑνὸς πασσάλου διὰ γώνων ἐμπεπηγότος τοῖς τοίχοις, ἵνα μὴ κἀκ τούτου διαφορά τις ὑποφαίνηται ἢ ὅλως ὑπονοῆται πασσάλων ἰδιαζόντων παραλ-

---

1 συντεταμένῳ Iamblich vita Pyth. c. 26, ita corr. vid. R, συντεταγμένων MR¹, συντεταγμένῳ B. 2 ὀργανικὴν om. M. 4 καὶ διὰ τῆς ego, νὴ δία διὰ (B add. τῆς) libb. et Iambl., ἔχει Iambl., ἔχεν RB, ἔσχεν M. 5 τοῦ om. M (hab. Iambl.) ἢ δία MB Iambl., ἢ καὶ δία R. 6 χαλκοτύπιον M solus. 7 σίδηρον M Iambl., σιδηρῶν RB. 15 ἀμυνομένης R. 16 τὸν et ὄγκον R, τῶν et ὄγκων MB Iambl. 20 ἐλαβών R, ἐκβαλών M. 22 διὰ γώνων R, διαγων M¹, διαγωνίου M²B. 23 ἀποφαίνηται R.

λαγή, ἀπαρτήσας τέσσαρας χορδὰς ὁμοῦλους καὶ ἰσοκώλους, ἰσοπαχεῖς τε καὶ ἰσοστρόφους ἑκάστην ἐφ' ἑκάστης ἐξήρτησεν, ὁλκὴν προσδήσας ἐκ τοῦ κάτωθεν μέρους. τὰ δὲ μήκη τῶν χορδῶν μηχανησάμενος ἐκ παντὸς ἰσαίτατα, εἶτα κρούων ἀνὰ δύο ἅμα χορδὰς ἐναλλὰξ συμφωνίας εὕρισκε τὰς προλεχθείσας, ἄλλην ἐν ἄλλῃ συζυγίᾳ. τὴν μὲν γὰρ ὑπὸ τοῦ μεγίστου ἐξαρτήματος τεινομένην πρὸς τὴν ὑπὸ τοῦ μικροτάτου (p. 12) διὰ πασῶν φθεγγομένην κατελάμβανεν. ἦν δὲ ἡ μὲν δώδεκά τινων ὁλκῶν, ἡ δὲ ἕξ. ἐν διπλασίῳ δὴ λόγῳ ἀπέφαινε τὴν διὰ πασῶν, ὅπερ καὶ αὐτὰ τὰ βάρη ὑπέφαινε. τὴν δ' αὖ μεγίστην πρὸς τὴν παρὰ τὴν μικροτάτην (οὖσαν ὀκτὼ ὁλκῶν) διὰ πέντε συμφωνοῦσαν, ἔνθεν ταύτην ἀπέφαινεν ἐν ἡμιολίῳ λόγῳ, ἐν ᾧπερ καὶ αἱ ὁλκαὶ ὑπῆρχον πρὸς ἀλλήλας· πρὸς δὲ τὴν μεθ' ἑαυτὴν μὲν τῷ βάρει, τῶν δὲ λοιπῶν μείζονα, ἐννέα σταθμῶν ὑπάρχουσαν, τὴν διὰ τεσσάρων, ἀναλόγως τοῖς βρίθεσι. καὶ ταύτην δὴ ἐπίτριτον ἄντικρυς κατελαμβάνετο, ἡμιολίαν τὴν αὐτὴν φύσει ὑπάρχουσαν τῆς μικροτάτης, (τὰ γὰρ ἐννέα πρὸς τὰ ἕξ οὕτως ἔχει,) ὅνπερ τρόπον ἡ παρὰ τὴν μικρὰν ἡ ὀκτὼ πρὸς μὲν τὴν τὰ ἕξ ἔχουσαν ἐν ἐπιτρίτῳ ἦν, πρὸς δὲ τὴν τὰ δώδεκα ἐν ἡμιολίῳ. τὸ ἄρα μεταξὺ τῆς διὰ πέντε καὶ τῆς διὰ τεσσάρων τουτέστιν ᾧ ὑπερέχει ἡ διὰ πέντε τῆς διὰ τεσσάρων, ἐβεβαιοῦτο ἐν ἐπογδόῳ λόγῳ ὑπάρχειν, ἐν ᾧπερ τὰ ἐννέα πρὸς τὰ ὀκτώ. ἑκατέρως τε

---

1 ἀπαρτίσας R. 2 ἰσοπαγεῖς MB. 11 τὰ om. B. 12 post ὑπέφαινε rep. τὴν διὰ πασῶν R. παρὰ τὴν μικρ. R Iambl. (cf. lin. 21), παραμικρ. MB. 18 ἐπίριτον ἄντικρυς i. e. 9 : 12. 24 ᾧ] ᾧπερ R. 26 ἑκατέρως M nigro colore (M¹)? et Iambl., ἑκατέρων RB, M livido colore, Uen.

ἡ διὰ πασῶν σύστημα ἠλέγχετο τῆς διὰ πέντε καὶ διὰ τεσσάρων ἐν συναφῇ, ὡς ὁ διπλάσιος λόγος ἤτοι ἡμιολίου τε καὶ ἐπιτρίτου, οἷον δώδεκα ὀκτὼ ἕξ, ἢ ἀναστρόφως τῆς διὰ τεσσάρων καὶ διὰ πέντε, ὡς τὸ διπλάσιον ἐπιτρίτου τε (p. 13) καὶ ἡμιολίου, οἷον δώδεκα ἐννέα ἕξ ἐν τάξει τοιαύτῃ. τυλώσας δὲ καὶ τὴν χεῖρα καὶ τὴν ἀκοὴν πρὸς τὰ ἐξαρτήματα καὶ βεβαιώσας πρὸς αὐτὰ τὸν τῶν σχέσεων λόγον, μετέθηκεν εὐμηχάνως τὴν μὲν τῶν χορδῶν κοινὴν ἀπόδεσιν τὴν ἐκ τοῦ διαγωνίου πασσάλου εἰς τὸν τοῦ ὀργάνου βατῆρα, ὃν χορδότονον ὠνόμαξε, τὴν δὲ ποσὴν ἐπίτασιν ἀναλόγως τοῖς βάρεσιν εἰς τὴν τῶν κολλάβων ἄνωθεν σύμμετρον περιστροφήν. ἐπιβάθρᾳ τε ταύτῃ χρώμενος καὶ οἷον ἀνεξαπατήτῳ γνώμονι εἰς ποικίλα ὄργανα τὴν πεῖραν λοιπὸν ἐξέτεινε, λεκίδων τε κροῦσιν καὶ αὐλοὺς καὶ σύριγγας καὶ μονόχορδα καὶ τρίγωνα καὶ τὰ παραπλήσια, καὶ σύμφωνον εὗρισκεν ἐν ἅπασι καὶ ἀπαράλλακτον τὴν δι' ἀριθμοῦ κατάληψιν. ὀνομάσας δὲ ὑπάτην μὲν τὸν τοῦ ἕξ ἀριθμοῦ κοινωνοῦντα φθόγγον, μέσην δὲ τὸν τοῦ ὀκτώ, ἐπίτριτον αὐτοῦ τυγχάνοντα, παραμέσην δὲ τὸν τοῦ ἐννέα, τόνῳ τοῦ μέσου ὀξύτερον καὶ δὴ καὶ ἐπόγδοον, νήτην δὲ τὸν τοῦ δώδεκα, καὶ τὴς μεταξύτητας κατὰ τὸ διατονικὸν γένος συναναπληρώσας φθόγγοις ἀναλόγοις οὕτως τὴν ὀκτάχορδον ἀριθμοῖς συμφώνοις ὑπέταξε, διπλασίῳ ἡμιολίῳ ἐπιτρίτῳ καὶ τῇ τούτων διαφορᾷ ἐπογδόῳ.

---

1 post ἠλέγχετο omnes ἤτοι, quod transposui post λόγος. 6 δὲ om. MB. 9 ἀπόδοσιν R. 11 χονδρότονον B. 12 κολάβων R. ἄνωθεν, erat enim chordotonon in inferiore, paxilli in superiore parte lyrae. 13 ἐπιστροφήν R. 14 τὴν π. λ. RIambl., λ. τὴν π. MB. 17 ἀπαράληπτον MB. 19 μὲν om. M. 24 συναπληρώσας M.

7. *Περὶ τῆς κατὰ τὸ διάτονον γένος διαιρέσεως τοῦ διὰ πασῶν.*

Ζ. Τὴν δὲ πρόβασιν ἀνάγκη τινὶ (p. 14) *φυσικῇ ἀπὸ τοῦ βαρυτάτου ἐπὶ τὸ ὀξύτατον κατὰ τοῦτο τὸ διατονικὸν γένος οὕτως εὕρισκε. (τὸ γὰρ χρωματικὸν καὶ ἐναρμόνιον γένος αὖθίς ποτε ἐκ τούτου διετράνωσεν ὡς ἔσται ποτὲ δεῖξαί σοι.) ἀλλὰ τό γε διατονικὸν τοῦτο γένος τοὺς βαθμοὺς καὶ τοὺς προόδους τοιαύτας τινὰς φυσικῶς ἔχειν φαίνεται· ἡμιτόνιον, εἶτα τόνος, εἶτα τόνος. καὶ τουτέστι διὰ τεσσάρων σύστημα δύο τόνων καὶ τοῦ λεγομένου ἡμιτονίου. εἶτα προσληφθέντος ἄλλου τόνου τουτέστι τοῦ μεσεμβληθέντος ἡ διὰ πέντε γίνεται, σύστημα τριῶν τόνων καὶ ἡμιτονίου ὑπάρχουσα. εἶθ' ἑξῆς τούτῳ ἡμιτόνιον καὶ τόνος καὶ τόνος, ἄλλο διὰ τεσσάρων τουτέστιν ἄλλο ἐπίτριτον. ὥστε ἐν μὲν τῇ ἀρχαιοτέρᾳ τῇ ἑπταχόρδῳ πάντας ἐκ τοῦ βαρυτάτου τοὺς ἀπ' ἀλλήλων τετάρτους τὸν διὰ τεσσάρων ἀλλήλοις διόλου συμφωνεῖν, τοῦ ἡμιτονίου κατὰ μετάβασιν τήν τε πρώτην καὶ τὴν μέσην καὶ τὴν τρίτην χώραν μεταλαμβάνοντος κατὰ τὸ τετράχορδον. ἐν δὲ Πυθαγορικῇ τῇ ὀκταχόρδῳ, ἤτοι κατὰ συναφὴν συστήματι ὑπαρχούσῃ τετραχόρδου τε καὶ πενταχόρδου, ἢ κατὰ διάζευξιν δυοῖν τετραχόρδων τόνῳ χωριζομένων ἀπ' ἀλλήλων, ἀπὸ τῆς βαρυτάτης ἡ προχώρησις ὑπάρξει, ὥστε τοὺς ἀπ' ἀλλήλων πέμπτους πάντας φθόγγους τὴν διὰ πέντε συμφωνεῖν ἀλλήλοις, τοῦ ἡμιτο-*

---

6 ἔσται RB, ἐνέσται MIambl. 9 τὸ διὰ τ. B. 11 μεσεμβληθ. Iambl., μεσεμβοληθ. MB, προσεμβληθ. R. ἡ δπ. γ. σύστημα RM¹Iambl., τὸ δπ. γ. σύστημα BM², ἡ δπ. γ. συμφωνία M³. 13 ὑπάρχον B. 14 ἐπίτρ. ἄλλο inv. R. 16 τοὺς om. M. 18 καὶ τὴν τρίτην om. M¹. 21 συστήματα M. τε RIambl., om. MB. 22 δυεῖν R. 25 συμφωνεῖν corr. ex συμφωνίαν M.

νίου προβάδην εἰς τὰς τέσσαρας χώρας μεταβαίνοντος, πρώτην δευτέραν τρίτην τετάρτην.

(p. 15) 8. *Ἐξήγησις τῶν ἐν Τιμαίῳ ἁρμονικῶς εἰρημένων.*

η. *Χρήσιμον δ' ἐστὶν ἐνταῦθα γινομένους τὴν Πλατωνικὴν εὐκαίρως διαπτύξαι λέξιν, ἣν ἐν τῇ ψυχογονίᾳ προηνέγκατο εἰπὼν „ὥστε ἐν ἑκάστῳ διαστήματι δύο εἶναι μεσότητας, τὴν μὲν ταὐτῷ μέρει τῶν ἄκρων αὐτῶν ὑπερέχουσαν καὶ ὑπερεχομένην, τὴν δὲ ἴσῳ μὲν κατ' ἀριθμὸν ὑπερέχουσαν, ἴσῳ δὲ ὑπερεχομένην. ἡμιολίων δὲ καὶ ἐπιτρίτων διαστάσεων διάστασιν τῷ τοῦ ἐπογδόου λείμματι συνεπληροῦτο.“*

Διάστημα μὲν γὰρ διπλάσιον ὁ δώδεκα πρὸς τὰ ἕξ, μεσότητες δὲ δύο, ὅ τε ἐννέα ἀριθμὸς καὶ ὁ ὀκτώ. ἀλλ' ὁ μὲν ὀκτὼ κατὰ τὴν ἁρμονικὴν ἀναλογίαν μεσιτεύει τόν τε ἕξ καὶ τὸν δώδεκα, ὑπερέχων μὲν τοῦ ἕξ τρίτῳ αὐτοῦ τοῦ ἕξ, ὑπερεχόμενος δὲ ὑπὸ τοῦ ιβ τρίτῳ αὐτοῦ τοῦ ιβ· διόπερ ταὐτῷ μέρει ἐν αὐτοῖς τοῖς ἄκροις θεωρουμένῳ ὑπερέχειν τε καὶ ὑπερέχεσθαι τὴν ὀκτὼ μεσότητα εἶπεν οἷα δὴ ἁρμονικῆς ὑπάρχουσαν ἀναλογίας. ὡς γὰρ ὁ μέγιστος ὅρος πρὸς τὸν ἐλάχιστον διπλάσιος, οὕτω καὶ ἡ τοῦ μεγίστου παρὰ

---

6 *προσηνέγκατο* R. 10 *διαστάσεων διάστασιν* M, *διαστάσεων διαστασῶν* R, *ἡμ. δὲ διαστ. καὶ ἐπιτρίτων καὶ ἐπογδόων γενομένων ἐκ τούτων τῶν δεσμῶν ἐν ταῖς πρόσθεν διαστάσεσι* B cum Platonis Timaeo c. 8, p. 36ᵃ. 11 *ἐπογδόου λείμματι* M, *ἐπογδόου λήμματι* R, *ἐπ. λείμματι τὰ ἐπίτριτα πάντα* B, *ἐπ. διαστήματι τὰ ἐπίτριτα πάντα* Plato, (an scrbd. *ἐπ. καὶ τῷ λ.*?) 12 *τὸ δώδ.* R. 16 *ὑπὸ* om. MB. 18 *τοῖς ἴσοις* R.

---

7 *Ἁρμονικὴ ἀναλογία*: 6 8 12. maximus numerus 12 tertia sua parte superat medium 8, minimus 6 eadem sua parte $^1/_3$ cedit medio illi 8. itaque hic eadem extremorum parte et cedit et superatur. cf. p. 124.

τὸν μέσον διαφορὰ τετρὰς οὖσα πρὸς τὴν τοῦ μέσου παρὰ τὸν ἐλάχιστον δυάδα οὖσαν· καὶ αὗται γὰρ ἐν διπλασίῳ λόγῳ τετρὰς πρὸς δυάδα. ἴδιον δὲ τῆς τοιαύτης μεσότητος τὸ συντεθέντων τῶν ἄκρων ἀλλήλοις καὶ ὑπὸ τοῦ μέσου πολυπλασιασθέντων διπλάσιον ἀποτελεῖσθαι τὸ γινόμενον τοῦ ὑπὸ τῶν ἄκρων γινομένου (p. 16) προμήκους. ὀκτάκις γὰρ ἡ τῶν ἄκρων σύνθεσις τουτέστι τὰ ὀκτωκαίδεκα ποιεῖ τὸν ρμδ, ὅς ἐστι διπλάσιος τοῦ ὑπὸ τῶν ἄκρων προμήκους, τοῦτ' ἔστι τοῦ ο β. ἡ δὲ ἑτέρα μεσότης, ἡ ἐννέα, κατὰ τὴν παραμέσην τεταγμένη, ἐν ἀριθμητικῇ μεσότητι ἐνθεωρεῖται πρὸς τὰ ἄκρα τῷ αὐτῷ ἀριθμῷ (τρία) ὑπερεχομένη μὲν ὑπὸ τοῦ δώδεκα, ὑπερέχουσα δὲ τὰ ἓξ. ἴδιον δὲ καὶ ταύτης τὸ διπλάσιον εἶναι τὴν σύνθεσιν τῶν ἄκρων αὐτοῦ τοῦ μέσου, καὶ τὸ μεῖζον ὑπάρχειν τὸ ἀπὸ τοῦ μέσου τετράγωνον (οἷον τὸ πα) τοῦ ὑπὸ τῶν ἄκρων προμήκους (τουτέστι τοῦ ο β) ὅλῳ τῷ ὑπὸ τῶν διαφορῶν τετραγώνῳ, τουτέστι τῷ τρὶς γ θ αὕτη γὰρ ἡ διαφορά. δύναται δέ τις καὶ τὴν τρίτην μεσότητα τὴν κυριώτερον ἀναλογίαν λεγομένην ἐν ἀμφοτέροις ἐπιδεῖξαι τοῖς μέσοις ὅροις, τῷ θ καὶ τῷ η. ἀνὰ γὰρ τὸν αὐτὸν λόγον ὑπάρχει ιβ πρὸς η ὡς θ πρὸς ς, ἡμιόλιον

---

2 δ. ὑπάρχουσαν M. 4 τὸ om. B, τῶν M. συνθέτων M¹. 5 πολλαπλασ. B. 8 τῶν ὀκτ. B. 10 ἡ (ad ἐννέα) om. R. 10 μέσην B¹, παρα add. B². 11 ἐνθεωρῆται R. 12 τῶν τρία B, τῷ τρία M, τρία R. 13 τὴν ἓξ M. 14 αὐτοῦ τε τοῦ M. 15 ἀπὸ B². 17 διαφόρων RM. 18 τουτὶ M. γ θ M, τρία ἐννέα B, τρὶς (rep.) R. 20 post ἀναλογίαν 4 litt. erasae M. 21 τῷ (η) om. M. 22 ἡμιόλιοι, om. γὰρ MB.

---

4 6 + 12 = 18. 18 · 8 = 144. 6 · 12 = 72. 2 · 72 = 144. 15 μεῖζον ὑπάρχειν· 81 superat (μξ. ὑπ.) 72 numero 9 = 3 · 3.

γὰρ ἀμφότεροι. καὶ τὸ ὑπὸ τῶν ἄκρων πρόμηκες ἴσον τῷ ὑπὸ τῶν μέσων, τὸ δωδεκάκις ϛ τῷ ἐννάκις η.

9. *Μαρτυρία τῶν εἰρημένων ἀπὸ τοῦ Φιλολάου.*

θ. Ὅτι δὲ τοῖς ὑφ' ἡμῶν δηλωθεῖσιν ἀκόλουθα καὶ οἱ παλαιότατοι ἀπεφαίνοντο, ἁρμονίαν μὲν καλοῦντες τὴν διὰ πασῶν, συλλαβὰν δὲ τὴν διὰ τεσσάρων (πρώτη γὰρ σύλληψις φθόγγων συμφώνων), δι' ὀξειᾶν δὲ τὴν διὰ πέντε (συνεχὴς γὰρ τῇ πρωτογενεῖ συμφωνίᾳ τῇ διὰ τεσσάρων ἐστὶν ἡ διὰ πέντε ἐπὶ τὸ ὀξὺ προχωροῦσα), σύστημα δὲ ἀμφοτέρων (p. 17) συλλαβᾶς τε καὶ δι' ὀξειᾶν ἡ διὰ πασῶν (ἐξ αὐτοῦ τούτου ἁρμονία κληθεῖσα, ὅτι πρωτίστη ἐκ συμφωνιῶν συμφωνία ἡρμόσθη) δῆλον ποιεῖ Φιλόλαος ὁ Πυθαγόρου διάδοχος οὕτω πως ἐν τῷ πρώτῳ φυσικῷ λέγων. ἀρκεσθησόμεθα γὰρ ἑνὶ μάρτυρι διὰ τὴν ἔπειξιν, εἰ καὶ πολλοὶ περὶ τοῦ αὐτοῦ τὰ ὅμοια πολλαχῶς λέγουσιν. ἔχει δὲ οὕτως ἡ τοῦ Φιλολάου λέξις. „ἁρμονίας δὲ μέγεθος συλλαβὰ καὶ δι' ὀξειᾶν. τὸ δὲ δι' ὀξειᾶν μεῖζον τᾶς συλλαβᾶς ἐπογδόῳ. ἔστι γὰρ ἀπὸ ὑπάτας εἰς μέσαν συλλαβά, ἀπὸ δὲ μέσας πότι νεάταν δι' ὀξειᾶν, ἀπὸ δὲ νεάτας ἐς τρίταν συλλαβά, ἀπὸ δὲ τρίτας ἐς ὑπάταν δι' ὀξειᾶν. τὸ δ' ἐν μέσῳ τρίτας καὶ μέσας ἐπόγδοον, ἁ δὲ συλλαβὰ ἐπίτριτον, τὸ δὲ δι' ὀξειᾶν ἀμιόλιον, τὸ

---

1 ὑπὸ τῶν sq. om. R — ὑπὸ τῶν. 2 post μέσων add. ἴσον R^2. τὸ RB, τῷ M. ἐννεάκις R. 6 συλλαβὴν M. τὴν om. M^1. 7 δι' ὀξειᾶν Stob. ecl. I, 21, 7, Böckh Philolaus p. 66, δι' ὀξεῖαν R, διοξεῖαν M, διοξείας om. δὲ B. sic et infra, nisi δι' ὀξεῖα B. 12 ὅτι δὲ πρ. B. 13 ὁ Φιλόλ. MB. 15 πολλοὶ τὰ ὅμοια περὶ αὐτοῦ πολλαχῇ MB. 17 τοῦ om. R. 18 τῆς συλλαβῆς R. 20 συλλαβὰν M. μέσσας R et lin. 22. 21 συλλαβή R. Haec interpretatur Boeckh Philolaus p. 68. 23 ἡμιόλιον MB.

διὰ πασῶν δὲ διπλόον. οὕτως ἁρμονία πέντε ἐπογδόων καὶ δυοῖν διέσεοιν. δι' ὀξειᾶν τρί' ἐπόγδοα καὶ δίεσις, συλλαβὰ δὲ δύ' ἐπόγδοα καὶ δίεσις." — μεμνῆσθαι δὲ δεῖ, ὅτι τρίτην νῦν καλεῖ τὴν ἐν τῇ ἑπταχόρδῳ παραμέσην, πρὸ τῆς τοῦ διαζευγνύντος τόνου παρενθέσεως τῆς ἐν ὀκταχόρδῳ. ἀπεῖχε γὰρ αὕτη τῆς παρανεάτης τριημιτόνιον ἀσύνθετον, ἀφ' οὗ διαστήματος ἡ μὲν παρεντεθεῖσα χορδὴ τόνον ἀπέλαβε, τὸ δὲ λοιπὸν ἡμιτόνιον μεταξὺ τρίτης καὶ παραμέσης ἀπελείφθη ἐν τῇ διαζεύξει. εὐλόγως οὖν ἡ πάλαι τρίτη διὰ τεσσάρων ἀπεῖχε τῆς νήτης, ὅπερ (p. 18) διάστημα νῦν ἀπέλαβεν ἡ παραμέση ἀντ' ἐκείνης. οἱ δὲ τοῦτο μὴ συνιέντες αἰτιῶνται ὡς οὐκ ὄντος δυνατοῦ ἐν ἐπιτρίτῳ λόγῳ εἶναι τρίτην ἀπὸ νήτης. ἄλλοι δὲ οὐκ ἀπιθάνως τὸν παρεντεθέντα φθόγγον οὐχὶ μεταξὺ μέσης καὶ τρίτης ἐντεθῆναί φασιν, ἀλλὰ μεταξὺ τρίτης καὶ παρανεάτης· καὶ αὐτὸν μὲν τρίτην ἀντ' ἐκείνης ἐπικληθῆναι, τὴν δὲ πάλαι τρίτην παραμέσην ἐν τῇ διαζεύξει γενέσθαι. τὸν δὲ Φιλόλαον τῷ προτέρῳ ὀνόματι τὴν παρα-

---

1 ἐπογδόω R. 2 διέστοιν R. δι' ὀξειᾶν — δίεσις om. RM, add. M^{4}. 3 συλλαβὰ δ' ἃ δύ' R. 5 παραθέσεως M. 6 παρανεάτας M. 7 τρι addit Meibom, probat Boeckh, *Bildung der Weltseele* p. 88 = *Ges. kleine Schriften* III 170. 9 ἀπελείφθη legit in RStud., ἀπελήφθη Franz et Neap.; item MB. ad nomen λεῖμμα revocat Böckh Phil. p. 71 not. 3. 16 τρίτας M. 18 πάλιν τρ. M. 19 πρώτῳ M,

---

Δίεσις est veterum Pythagoreorum semitonium. Adrastus ap. Theonem de mus. 12, p. 55 H. Macrobius in somnium Sc. II 1, 23. — De lyrae septem vel octo chordis cf. p. 81.

Ὑπάτη	παρυπάτη	λιχανός	Μέση	πάλαι τρίτη	τρίτη νέα	παρανεάτη	νεάτη
e	f	g	a	h	d'	e'	
mi$_2$	fa$_2$	sol$_2$	la	si$_2$	re$_3$	mi$_3$	

μέσην τρίτην καλέσαι καίτοι διὰ τεσσάρων οὖσαν ἀπὸ τῆς νήτης.

10. Περὶ τῆς διὰ τῶν ἀριθμητικῶν λύγων ἁρμόσεως τῶν φθόγγων.

1. Πάλιν οὖν ἀνελθόντες ἐπὶ τὸν πρότερον λόγον ⟨c. 4⟩ συνάπτωμεν τὰ ἑξῆς, λέγοντες, ὅτι ἐναντίον τῇ κατὰ τὴν τάσιν συμμετρίᾳ τῷ μὲν πλήθει ὀξυτονούσῃ τοὺς φθόγγους, τῇ δὲ ὀλιγότητι βαρυτονούσῃ συμβέβηκε περὶ τὰ μήκη θεωρεῖσθαι καὶ τὰ πάχη τῶν τε χορδῶν καὶ τῶν κοιλιώσεων τῶν αὐλῶν κατ' ἀντίστροφον μέντοι ἀναλογίαν· ἐν τούτοις γὰρ ἀνάπαλιν αἱ μὲν βραχύτητες ὀξυτονοῦσιν, αἱ δὲ πλειονότητες βαρυτονοῦσιν. εἰ γάρ τις χορδῆς μακρᾶς ὑπὸ μίαν καὶ τὴν αὐτὴν τάσιν κειμένης ἐπί τινι κανόνι, ἐξηρμένης δ' αὐτοῦ ἐφ' ὅσον μὴ ψαύειν, τὸν ἀπὸ τῆς ὅλης κρουσθείσης φθόγγον συγκρίνοι πρὸς τὸν ἀπὸ τῆς ἡμισείας, ἀποληφθείσης τῆς χορδῆς ὑπαγωγεῖ ἢ τοιούτῳ τινὶ ἐκ τοῦ μεσαιτάτου, ἵνα μὴ περαιτέρω τοῦ ἡμίσους ὁ τῆς κρούσεως κραδασμὸς χωρήσῃ, διὰ πασῶν εὑρήσει τὸν ἀπὸ τῆς ἡμισείας (p. 19) πρὸς τὸν ἀπὸ τῆς ὅλης ψόφον μείζονα, ὅπερ ἐστὶ διπλάσιον, ἐναντιοπαθῶς ταῖς τοῦ μήκους ἀνταποδόσεσιν. εἰ δὲ κατὰ τὸ τρίτον μέρος ἀκριβῶς μετρηθὲν κατάσχοι τὸν κραδασμόν, τὸ ἀπὸ τοῦ διμοίρου φθέγμα ἡμιόλιον ἀναγκαίως ἔσται πρὸς τὸ ἀπὸ τῆς ὅλης, ἀντιστρόφως τῷ μήκει. εἰ δὲ κατὰ τὸ τέταρτον μέρος τῆς χορδῆς ἐγκόψεις τῇ κρού-

---

3 διὰ om. B. 6 συνάπτομεν M. λέγοντες πῶς ὅτι B. 9 τε supra lin. M¹. 12 βραχύταται M, fortasse duo erant comparativi. cf. lectt. p. 275, 5. 14 ἐξηρμένης M, ἐξηρημένης RB, δ' αὐτῆς R. 16 συγκρίνει MB. 17 ἀπολειφθ. R (Stud.). 23 μετάσχοι R. 26 ἐγκόψεις R.

σει, περαιτέρω προχωρεῖν οὐκ ἐῶν τὸν κραδασμὸν, ἐπίτριτον ἂν πρὸς τὸ ἀπὸ τῆς ὅλης ἠχήσειε τὸ ἀπὸ τῶν τριῶν μερῶν, ἐναντίως τῇ ἐν τοῦ μήκους σχέσει. ὥσπερ καὶ ἐπὶ τοῦ αὐλοῦ τρισὶ τρυπήμασιν εἰς τέσσαρα ἴσα μήκη νεμηθέντος, εἰ φραγέντων τῶν πρώτων τρυπημάτων τῇ τῶν δακτύλων ἐπιθέσει τὸν ἀπὸ τοῦ ὅλου αὐλοῦ φθόγγον συμβάλλοιμεν πρὸς τὸν ἀπὸ τοῦ μέσου τρυπήματος ἐκπεμπόμενον ἀνεθείσης τῆς τοῦ δακτύλου ἐπιθέσεως, εὑρεθείη ἂν διπλάσιος, καὶ διὰ πασῶν τε ὁ ἀπὸ τοῦ μέσου τρυπήματος φθόγγος πρὸς τὸν ἀπὸ τοῦ ὅλου αὐλοῦ. ὁ δ' αὐτὸς καὶ πρὸς τὸν ἀπὸ τοῦ ὑπ' αὐτὸν, κειμένου δὲ πρὸς τῷ βατῆρι κατωτάτω τρυπήματος ἡμιόλιος. οὗτος δὲ πρὸς τὸν ἀπὸ τοῦ ὅλου ἐπίτριτος. ὁ δὲ ἀπὸ τοῦ πρὸς τῇ γλωσσίδι φθόγγος πρὸς μὲν τὸν ἀπὸ τοῦ μέσου διπλάσιος, τετραπλάσιος δὲ πρὸς τὸν ἀπὸ τοῦ ὅλου, ἀντιπαθῶς ταῖς κατὰ τὰ μήκη ἀναλογίαις. κἀπὶ τῶν συρίγγων παραπλήσιόν τι τὰ μήκη ἀπεργάζεται καὶ αἱ τῶν κοιλιώσεων εὐρύτητες ὥσπερ καὶ (p. 20) αἱ τῶν χορδῶν παχύτητες· αἱ γὰρ δίκωλοι διπλάσιον ἠχοῦσι τῶν τετρακώλων.

11. *Περὶ τοῦ δὶς διὰ πασῶν διὰ τὸ διατονικὸν γένος.*

ια. Τόδε τοίνυν τὸ τοῦ διαγράμματος κύτος κατὰ τὸ διατονικὸν γένος ἐστὶν δὶς διὰ πασῶν τετραπλασίου πλάτους. τοσοῦτον γὰρ ἡ ἐναγώνιος φωνὴ δια-

---

2 ἐπίτονον R. 4 τοῦ om. MB. 5 νεμεθέντος M. εἰφραγέντων RB. τῶν ἄλλων τρυπ. B. 7 συμβάλοιμεν R. 10 τε om. B. 16 ἐναντιοπαθῶς M¹. 19 καὶ om. R. 20 ἔχουσι R. 23 τόδε R, τὸ δὲ M, τὸ B. τὸ et κύτος om. B. 24 ἐστὶ R, ἐκ τοῦ MB. 25 πλάτους ἐστὶ B. ἐναρμόνιος B.

νύει χωρὶς κινδύνου τινὸς ἢ ὀλισθήματος, ἐφ' ἑκάτερον ἄκρον δυσέμπτωτος γινομένη, εἰς μὲν κοκκυσμὸν κατὰ τὸ νητοειδές, εἰς δὲ βηχίαν κατὰ τὸ βομβυκέστερον τῶν ὑπατῶν.

2 * Τῇ τοίνυν ἀρχαιοτρόπῳ λύρᾳ, τουτέστι τῇ ἑπταχόρδῳ, κατὰ συναφὴν ἐκ δύο τετραχόρδων συνεστώσῃ — τῆς μέσης αὐτῆς ἀμφότερα περατούσης τὰ σύμφωνα διαστήματα, τὸ μὲν βαρύτερον, τὸ πρὸς τῇ ὑπάτῃ, ἐπὶ τὸ ὀξύ, τὸ δ' ὀξύτερον, τὸ πρὸς τῇ νήτῃ, ἐπὶ τὸ βαρύ — προσῆψαν ἄλλα δύο τετράχορδα, ἑκάτερον ἐφ' ἑκατέρῳ ἄκρῳ. ἐπὶ μὲν τῇ ἐξ ἀρχῆς νήτῃ τὸ ὑπερβολαίων ἐπικληθὲν, ὅτι ὀξυτέρᾳ καὶ ὑπερβαλλούσῃ συνίστατο φωνῇ, ἀπ' αὐτῆς πάλιν κατὰ συναφὴν ἀρχόμενον τῆς πάλαι νήτης. ὥστε τριῶν μόνον φθόγγων προσαφθέντων πέρας ἔσχε τὸ ἐπιταθὲν τετράχορδον, ὧν ὀνόματα εἰκότως τοιαῦτ' ἐγένετο· τρίτη ὑπερβολαίων, εἶτα παρανήτη ὑπερβολαίων, εἶτα νήτη τῶν αὐτῶν. ἵνα δὲ πρὸς ἀντιδιαστολὴν τὸ πρὸ αὐτοῦ τετράχορδον τὸ τῇ μέσῃ συναφὲς οὕτως ὀνομαζομένους σχῇ τοὺς φθόγγους· μετὰ μέσην (p. 21) τρίτη συνημμένων, εἶτα παρανήτη συνημμένων, εἶτα νήτη συνημμένων. καὶ τὸ σύμπαν νητοειδὲς ἀπ' αὐτῆς τῆς μέσης

4 ὑπατῶν accentu syllabae α eraso M. 7 παραγούσης M. 12 ὑπερβολαῖον R. 16 τοιαῦτ' ἐγένετο εἰκότως M. ἐγένοντο R. 17 παρανήτη ὑπβ., εἶτα R², om. rel. 18 ἵνα δὲ R³. ἵνα δὴ rel. redit autem ἵνα hoc sensu positum p. 262, 18. 25. 258, 6. 19 συναφὲν B. 20 σχῇ RB, σχῆμα M. τρίτην M. 21 νήτη συνημμ. addit R².

4 Mirum hic prodit Nicomachus sonorum systema ignotum reliquis scriptoribus praeter Pachymerem c. 11 p. 448.

Μέση	*τρίτη*	*παρανήτη*	*νήτη*	*τρίτη*	*παρανήτη*	*νήτη*
a	b	c′	d′	es′	f′	g′
la_2	si^b	do_3	re_3	mi^b	fa_3	sol_3.

ἀριθμούμενον ἑπτάχορδον πάλιν ἀναγκαίως καὶ αὐτὸ ἀποτελεῖται. ἐπὶ δὲ τῇ ἐξ ἀρχῆς ὑπάτῃ ἐπὶ τὸ βαρὺ τὸ ἕτερον τῶν λεχθέντων προσῆψαν τετράχορδον, πάλιν κατὰ συναφήν, συνυπακούσης αὐτῷ καὶ τῆς παλαιᾶς ὑπάτης ὡς δὴ ὀξυτέρου τῶν ἐν αὐτῷ φθόγγων. παραπλησίως δὲ ἕνεκα ἀντιδιαστολῆς τῆς πρόσθεν τάξεως καὶ τοῦτο ἔτυχεν ὀνομάτων εὐσημοτέρων. προσετέθη γὰρ ἑκάστῳ τὸ ὑπατῶν, οἷον ὑπάτη ὑπατῶν, παρυπάτη ὑπατῶν, διάτονος ὑπατῶν ἢ λιχανὸς ὑπατῶν, οὐδὲν γὰρ διαφέρει ὁποτερωσοῦν ὀνομάζειν. καὶ τοῦτο δὲ ὅλον τὸ σύστημα ἀπὸ τῆς μέσης ἐπὶ τὴν ὑπατῶν ὑπάτην ἑπτάχορδον συνέβαινεν εἶναι ἐκ δύο συναφῶν τετραχόρδων συγκείμενον καὶ αὐτῶν ἑνὶ κοινῷ χρωμένων φθόγγῳ τῇ ἀρχαίᾳ ὑπάτῃ. ὥστε ἀπὸ ὑπάτης ὑπατῶν ἐπὶ νήτην ὑπερβολαίων τέσσαρα εἶναι τετράχορδα συνημμένα. εὑρίσκετο δὲ τρισκαιδεκάχορδον διατονικῶς ἀμφοτέρωθεν ἑβδόμης τεταγμένης. ἔπειτα, ὡς προελέχθη ⟨cap. 9⟩, τὸν ὄγδοον φθόγγον τὸν διεστῶτα τόνῳ μεταξὺ μέσης καὶ τῆς ἀρχαίας τρίτης παρενέθηκαν οἱ τὴν ἁρμονίαν ποικίλλοντες (ἢ ὡς ἔνιοι μεταξὺ τρίτης καὶ παρανήτης) καὶ τὴν τοῦ διὰ πέντε ἔμφασιν τρανοῦντες. καὶ οὐκέτι ἡ μέση τῷ ὄντι μέση (p. 22) εὑρίσκετο. ἐν γὰρ χορδαῖς ἀρτιοπαγέσιν ἀδύ-

1 ἀριθμουμένης M. καὐτὸ R. 2 τῇ ἐπὶ R, utrumque om. MB. 5 δὴ τὰς ὀξυτέρας libb. 6 τῆς πρὸς τὸ πρόσθεν libb. 8 ἑκάστω R, ἑκάστη M, ἑκάστης B. τὸ ὕπατον RM. 10 ὁποτέρω οὖν M. hinc usque ad p. 264, 5 adhibendus erat Pachymeris liber quem edidit Vincent, *Notices* p. 401. 13 καὐτὸ B, κἂν τὸ M, αὐτὸ R. κοινωι, ν et alt. ι in ras. M. χρώμενον B. 16 τρεισκαιδ. R. 17 ἐπειδὴ B, ἐπεὶ δὲ R, ἐπεὶ M. 20 ποικίλλοντες RM¹, ποικίλαντες BM⁴. 22 τῷ ὀνόματι B¹. 23 ἀρτιοταγ. R.

νατον μέσην μίαν ὑπάρξαι, ἀλλὰ ἀναγκαίως δύο, ἐβδόμην τε καὶ ὀγδόην. πάλιν προσέλαβον ὑπὲρ τὴν ὑπάτην ἐξώτατον φθόγγον ἕνα, βαρύτατον τῶν ὄντων, ὃν ἐκ τούτου ἐκάλεσαν προσλαμβανόμενον, τόνου ἀπόστασιν καὶτὸν ἔχοντα πρὸς τὴν ὑπατῶν ὑπάτην ἐπὶ τὸ βαρύ, ἵνα ὀκτάχορδα ἑκατέρωθεν τῆς μέσης ὑπάρξῃ τὰ συστήματα, καὶ ἡ μὲν ὡς ἀληθῶς μέση γένηται ἐν πεντεκαίδεκα φθόγγοις ὀγδόη ἑκατέρωθεν κειμένη, καὶ δὶς διὰ πασῶν τὸ σύμπαν τοῦ διαγράμματος μέγεθος γένηται δὶς διπλάσιον, ὅπερ ἐστὶ τετραπλάσιον, καὶ ἡ τάξις τῶν προσηγοριῶν τοιούτη τις ἄνωθεν ἐφεξῆς ἦ·

προσλαμβανόμενος,

εἶτα μετὰ ἀπόστασιν ὅλου τόνου ὑπάτη ὑπατῶν,

εἶτα μεθ' ἡμιτόνιον παρυπάτη ὑπατῶν,

εἶτα μετὰ τόνον λιχανὸς ὑπατῶν, ἀπὸ τοῦ τὸν τῆς ἀριστερᾶς χειρὸς δάκτυλον, τὸν παρὰ τὸν ἀντίχειρα, τὸν οὕτω λιχανὸν καλούμενον αὐτῷ ἀεὶ ἐπιτίθεσθαι,

εἶτα μετ' ἄλλον τόνον ὑπάτη μέσων,

ἑξῆς δὲ μεθ' ἡμιτόνιον παρυπάτη μέσων,

μετὰ δὲ τόνον λιχανὸς μέσων, ὃν καὶ διάτονον καλοῦσιν ἀπ' αὐτοῦ τοῦ γένους τοῦ διατονικοῦ προσαγορεύοντες,

εἶτα μετ' ἄλλον τόνον μέση,

εἶτα παράμεσος μετὰ ὅλον τόνον,

εἶτα τρίτη διεζευγμένων μετὰ ἡμιτόνιον,

---

1 δύο om. B. 3 ὄντ(ων) R corr. 4 ἐκάλεσε M. 5 ὑπόστασιν R. κἀ(υτὸν) R corr. 6 ὀκτάχορδον vid. M¹. 12 ἄνωθεν ἦ. προσλ. ἐφεξῆς εἶτα MB. 16 τοῦ τὴν τῆς M. 19 ὑπάτην M. 20 ἑξῆς δὲ — παρυπάτη μέσων om. R. 24 μέσην M. 25 παραμέσος R.

εἶτα μετὰ τόνον παρανήτη διεζευγμένων,
καὶ μετ' ἄλλον νήτη διεζευγμένων (p. 23),
ταύτῃ δ' ἑξῆς μεθ' ἡμιτόνιον τρίτη ὑπερβολαίων,
εἶτα μετὰ τόνον παρανήτη ὑπερβολαίων,
καὶ ἐπὶ πάσαις μετὰ τόνον νήτη ὑπερβολαίων.

Ἕνεκα δὲ ὑπομνήσεως τῆς πρωτοτύπου κατὰ τὴν 5
ἑπτάχορδον συναφῆς παρεμβάλλεται μεταξὺ τοῦ τε μέσων τετραχόρδου καὶ τοῦ διεζευγμένων ἄλλο τι λεγόμενον συνημμένων, εὐθὺς τὴν ἑαυτοῦ τρίτην ἔχον ἡμιτονίῳ διεστῶσαν ἀπὸ τῆς μέσης, εἶτα μετὰ τόνον τὴν ἰδίαν παρανήτην, εἶτα μετ' ἄλλον τόνον τὴν συνημμένην νήτην ὁμότονον ἐκ παντὸς καὶ ὁμόφωνον τῇ διεζευγμένῃ παρανήτῃ. ὥστε τετράχορδα μὲν ὑπάρχειν τὰ πάντα πέντε, ὑπατῶν μέσων συνημμένων διεζευγμένων ὑπερβολαίων. — τούτων δὲ διαζεύξεις μὲν εἶναι 6
δύο, συναφὰς δὲ τρεῖς. * διαζεύξεις μὲν τήν τε μεταξὺ τοῦ συνημμένων καὶ τοῦ ὑπερβολαίων καὶ τὴν τῶν μέσων καὶ διεζευγμένων ἑκατέραν ἀνὰ τόνου μέγεθος

2 καὶ om. R. 4 εἶτα μετὰ — νήτη ὑπερβ. om. R¹. 5 πάσαις R², πάσης Pach. p. 450, πᾶσι MB. 7 συναφῆς MBPach, συναγωγήν R. παραβάλλεται RPach. 9 συνημμένον MB. εὐθὺς — παρανήτην om. R¹. 11 συνημμένην MB, συνημμένου R. τῶν σ.ων Pach. qui postea h. τῶν δζ.ων. 13 ὡς τετρ. R. 16 καὶ διαζεύξεις B. Absunt haec usque ad τρεῖς p. 260, 1 a Meibomi codice Bodleiano. Baroccianus in margine exhibet quae leguntur in RMB. 17 τοῦ συνημμένου RMB, τοῦ τε τῶν συνημμένων Pach. τοῦ ὑβλ.ων RM, τοῦ ὑπβλ.ου B, τοῦ τε τῶν ὑπβλ.ων Pach. καὶ τὴν κτλ. supplet Pach.

16 Hanc doctrinam quamvis probent Pachymeres et uterque libellus Bacchii §§ 39 et 82, tamen explodimus. pugnat enim cum eo, quod p. 257, 16 et 259, 3 Nicomachus concinens cum Aristoxeno Euclide aliis praecipit.

διιστάνουσαν. — συναφὰς δὲ τρεῖς, τήν τε τὸ ὑπατῶν τῷ μέσων συνάπτουσαν, καὶ τὴν αὐτὸ τὸ μέσων πρὸς τὸ συνημμένων, καὶ τελευταίαν τὴν τὸ διεζευγμένων πρὸς τὸ ὑπερβολαίων. τούτων δὲ πάντων τὰς καθ' ἕκαστον φθόγγον εὑρέσεις καὶ αἰτίας καὶ προαγωγάς, ὡς ἐγένοντο καὶ ὑπὸ τίνων καὶ πότε καὶ ἐκ ποίας ἁρμονίας, ἐν τοῖς κατὰ πλάτος ἀποδώσομέν σοι, ἀπὸ (p. 24) τετραχόρδου τὴν ἀρχὴν ποιησάμενοι μέχρι τῆς τελειοτάτης καταπυκνώσεως τῆς διὰ πασῶν, οὐ μόνον ἐν τῷ διατονικῷ τούτῳ γένει, ἀλλὰ καὶ ἐν τῷ χρωματικῷ καὶ ἐν τῷ ἐναρμονίῳ μετὰ μαρτυριῶν παλαιῶν ἀξιοχρεωτάτων τε καὶ ἐλλογίμων ἀνδρῶν. καὶ προσεκθησόμεθα τὸν τοῦ Πυθαγορικοῦ λεγομένου κανόνος κατατομὴν ἀκριβῶς καὶ κατὰ τὸ βούλημα τοῦδε τοῦ διδασκάλου συντετελεσμένην, οὐχ ὡς Ἐρατοσθένης παρήκουσεν ἢ Θράσυλλος, ἀλλ' ὡς ὁ Λοκρὸς Τίμαιος, ᾧ καὶ Πλάτων παρηκολούθησεν, ἕως τοῦ ἑπτακαιεικοσιπλασίου.

12. *Περὶ τῆς κατὰ τὰ τρία γένη τῶν φθόγγων προβάσεως καὶ διαιρέσεως.*

ιβ. Ἵνα δὲ τὴν κατὰ τὰ τρία γένη προβίβασιν ἀπὸ προσλαμβανομένου μεχρὶ ὑπερβολαίας νήτης εὐ-

---

1 διιστάνουσαν RPach., διιστῶσαν M, διεστῶσαν B. τὸ om. libb. 2 τῷ] τῇ R, πρὸς τὴν BM^4, τῷ τῶν Pach. συνάπτουσαν Pach. καὶ τὴν αὐτῶν τῶν μέσων libb., τήν τε τῶν μέσων αὐτῶν Pach. 3 συνημ.^{ον} M. τὴν τῶν διεζ.^{ων} MB, τὴν τοῦ διεζ.^{ου} R. πρὸς τὴν ὑ. R, πρὸς τὴν τῶν ὑ. MB. 8 τελειότητος M^1. 9 an τῆς δὶς δπ.? 10 χρωματικὸν M^1. 12 τε om. R. προσεκθήσομαι R. 14 καὶ om. M. βούλευμα B. τοῦ] σοῦ M^1. 16 ὁ Πλάτων B. 17 εἰκοσαπλ. RB.

---

5 ad εὑρέσεις cf. excerpta 1 et 4 et quae Boetius de musica I 20 auctore Nicomacho de singulis chordis posteriore aetate in citharam receptis exhibet.

τάκτως ἐκτατὴν ἔχῃς, εὔλογον μικρὰ ἔτι ἄνωθεν προσυπομνῆσαι ἀπὸ τῶν ἤδη εἰρημένων ἀρξάμενον ἕνεκα σαφηνείας.

Φθόγγος ἐστὶ φωνὴ ἄτομος, οἷον μονὰς κατ' ἀκοήν· ὡς δὲ οἱ νεώτεροι, ἐπίπτωσις φωνῆς ἐπὶ μίαν τάσιν καὶ ἁπλῆν· ὡς δ' ἔνιοι, ἦχος ἁπλατὴς κατὰ τόπον ἀδιάστατος.

Διάστημα δ' ἐστὶ δυοῖν φθόγγων μεταξύτης. σχέσις δὲ λόγος ἐν ἑκάστῳ διαστήματι μετρητικὸς τῆς ἀποστάσεως· διαφορὰ δὲ ὑπερβολὴ ἢ ἔλλειψις φθόγγων πρὸς ἀλλήλους. κακῶς γὰρ οἴονται οἱ νομίζοντες διαφορὰν καὶ σχέσιν τὸ αὐτὸ εἶναι. ἰδοὺ γὰρ τὰ δύο πρὸς τὸ ἓν διαφορὰν μὲν ἔχει τὴν αὐτήν, ἣν ἓν πρὸς δύο, σχέσιν δὲ οὐ τὴν αὐτήν. τὰ μὲν γὰρ δύο (p. 25) διπλάσια, τὸ δὲ ἓν ἥμισυ. καὶ πάλιν ἐν πᾶσιν ἀριθμητικῆς μεσότητος ὅροις τρισὶν ἢ καὶ πλείοσι διαφορὰ μὲν ἡ αὐτὴ ἐν πᾶσι, σχέσις δὲ ἄλλη καὶ ἄλλη. περὶ τοῦτο δὲ πλατύτερον εἴσῃ ἐν τοῖς κατὰ πλάτος.

Σύστημα δέ ἐστι δυοῖν ἢ καὶ πλειόνων διαστημάτων σύνοδος. ἀλλὰ τῶν μὲν διαστημάτων οὐδεὶς φθόγγος πρὸς τὸν συνεχῆ σύμφωνος, ἀλλὰ πάντως διάφωνος, τῶν δὲ συστημάτων ἐστί τινα σύμφωνα,

---

1 ἐκτατὴν ego. ἔκτασιν RM, om. B. 5 ἀκοὴν RBPach. p. 451, ἀκολουθίαν M. 6 tertiam definitionem om. Pach. p. 451. 8 δυεῖν R. 19 καὶ RPach., om. MB. 21 fortasse erat πάντες διάφωνοι. 22 post διάφωνος add. Pach.: τί γὰρ κατά τινος λογικῶς ὀνομάζεται· διὰ τοῦτο γὰρ καὶ ἡ πρότασις διάστημα τῷ Ἀριστοτέλει ὀνομάζεται. τὸ δὲ τί κατά τινος οὐ τὸ αὐτό ἐστιν ἀλλ' ἄλλο κατ' ἄλλου. ὥσπερ καὶ ἐνταῦθα ἐν τῷ διαστήματι, εἴπερ οἱ δύο φθόγγοι σύμφωνοι, οὐδὲν ἐμμελὲς ἀπεργάσονται. νῦν δὲ ἀλλ' (sic p. 452) ἐκ βαρυτέρου καὶ ὀξυτέρου τῶν φθόγγων ἕν τι γενήσεται ἐν τῷ διαστήματι· πολυμιγέων γὰρ καὶ δίχα φρονεόντων ⟨an φωνηέντων? Vinc.⟩ ἕνωσις.

τινὰ δὲ καὶ διάφωνα. σύμφωνα μὲν, ἐπειδὴ οἱ περιέχοντες φθόγγοι διάφοροι τῷ μεγέθει ὄντες, ἅμα κρουσθέντες ἢ ὅμως ποτὲ ἠχήσαντες ἐγκραθῶσιν ἀλλήλοις οὕτως, ὥστε ἑνοειδῆ τὴν ἐξ αὐτῶν φωνὴν γενέσθαι καὶ οἷον μίαν· διάφωνοι δὲ, ὅταν διεσχισμένη πως καὶ ἀσύγκρατος ἡ ἐξ ἀμφοτέρων φωνὴ ἀκούηται.

Ἐπεὶ δὲ τὸ πρώτιστον καὶ στοιχειωδέστατον σύμφωνον τὸ διὰ τεσσάρων ἐστὶν ἐν τετραχόρδῳ συνεχεῖ, λόγῳ δὲ ἐπιτρίτῳ, εὐλόγως κατὰ τοῦτο τῶν τῆς μελῳδίας τριῶν γενῶν αἱ παραλλαγαὶ εὑρίσκονται πρὸς ἀλλήλας. τὸ μὲν γὰρ διατονικὸν, περὶ οὗ καὶ προέφαμεν, οὕτω προχωρεῖ· ἡμιτόνιον, εἶτα τόνος, εἶτα τόνος· τρία διαστήματα ἐν τέσσαρσιν ἀριθμοῖς ὅ ἐστι φθόγγοις. καὶ ἐκ τούτου γε διατονικὸν καλεῖται, ἐκ τοῦ προχωρεῖν διὰ τῶν τόνων αὐτὸ μονώτατον τῶν ἄλλων. (p. 26) τὸ δὲ χρωματικὸν οὕτω προβιβάζεται· ἡμιτόνιον, εἶτα ἄλλο ἡμιτόνιον, εἶτα ἐπὶ τούτοις ἀσύνθετον τριημιτόνιον. ἵνα καὶ τοῦτο, εἰ καὶ μὴ ἐκ δύο τόνων καὶ ἡμιτονίου ἄντικρύς ἐστιν, ἀλλ' οὖν ἴσα ἔχον φαίνηται τὰ διαστήματα δυσὶ τόνοις καὶ ἡμιτονίῳ. τὸ δὲ ἐναρμόνιον τὴν προκοπὴν φυσικῶς τοιαύτην ἔχει· δίεσις, ὅπερ ἐστὶν ἡμιτονίου ἥμισυ, καὶ πάλιν ἄλλη δίεσις, συναμφότεραι ἡμιτονίῳ ἴσαι, καὶ τὸ λειπόμενον τοῦ τετραχόρδου, ὅλον δίτονον ἀσύνθετον· ἵνα καὶ τοῦτο δυσὶ τόνοις καὶ ἡμιτονίῳ ἴσον ᾖ· ἐνδοτέρω γὰρ τούτων συμφωνῆσαι ἀδύνατον φθόγγον φθόγγῳ. δῆλον οὖν ὅτι αἱ παραλλαγαὶ τῶν

---

3 κρασθέντες B. ὅμως] ὅπως libb. 8 ἐν τετραχόρδῳ — ἐπιτρίτῳ om. Pach. 452. 9 λόγῳ ᾗ καὶ ἐ. B. 12 προχωρῶν R. 15 διὰ τῶν διατόνων R, loco δια ras. in M (an δύο τ.?). 20 φαίνεται M.

3 λέγει τ' ἂν N. 4 τόνος δ' ἔστι V, τ. δὲ ἐστὶ N. 5 συστημάτων διαφορά. cf. ὡς τόπος φωνῆς Cleon. c. 12. τρόπος συστηματικός AQ. I c. 10. 8 διαστήματι V. 10 περὶ συστημάτων inserunt V. alii, om. N. 11 διαστημ. Meib., cf. l. 34, συστημ. libri. 12 ἐμμελῶν corr. $V^{Fr.}$, Meib. not. μελῶν NV^{St}. 18 τοῦ ἤχου an τῇ ἀκοῇ? 23 μελῳδεῖσθαι Meib. not., μελῳδεῖν libri.

φθόγγος ἢ φθόγγοι. τὰ δὲ αὐτὰ καὶ συστήματα λέγονται. ἁπλῶς γὰρ σύστημά ἐστι τὸ ἐκ πλειόνων ἢ ἑνὸς διαστημάτων συγκείμενον διάστημα. ἔστι δὲ τὰ καθ' ἕκαστον γένος ἀσύνθετα καὶ πρῶτα διαστήματα κοινὰ μέτρα τῶν ἐν αὐτῷ τῷ γένει λοιπῶν διαστημάτων ἢ συστημάτων.

5. *Περὶ γενῶν.* Γένος δέ ἐστι ποιὰ τετραχόρδου διαίρεσις καὶ διάθεσις. γένη δέ ἐστι τρία· διατονικὸν χρωματικὸν ἐναρμόνιον. εἴδη δὲ ἤτοι χροιαὶ τῶν γενῶν πλείονες. καὶ ἔστιν ἐν μὲν τῷ ἁρμονικῷ τὸ πρῶτον καὶ ἀσύνθετον διάστημα τέταρτον τόνου, καλεῖται δὲ δίεσις ἐναρμόνιος. ἐν δὲ τῷ χρωματικῷ τόνου τρίτον, καλεῖται δὲ δίεσις χρωματικὴ ἐλαχίστη. ἐν δὲ τῷ διατονικῷ μάλιστα τῷ συντόνῳ καλουμένῳ τὸ ἡμιτόνιόν ἐστι πρῶτον τε καὶ ἀσύνθετον. μελῳδεῖται δὲ τὸ διατονικὸν γένος τὸ σύντονον ἐπὶ μὲν τὸ ὀξὺ καθ' ἡμιτόνιον (p. 6) καὶ τόνον καὶ τόνον, ἐπὶ δὲ τὸ βαρὺ δῆλον ὡς ἔμπαλιν. τὸ δὲ χρωματικὸν πολυειδῶς μὲν καὶ αὐτὸ μελῳδεῖται. καὶ καθ' ἓν εἶδος ὡς ἐπὶ παραδείγματος ἐπὶ μὲν τὸ ὀξὺ καθ' ἡμιτόνιον καὶ ἡμιτόνιον καὶ τριημιτόνιον, ἐπὶ τὸ βαρὺ δὲ ἐναντίως. ἐν δὲ τῷ ἐναρμονίῳ γένει πρόεισιν ἡ μελῳδία κατὰ τεταρτημόριον καὶ τεταρτημόριον καὶ δίτονον.

6. *Περὶ μὲν δὴ τοῦ γένους ἱκανὰ τέως τὰ εἰρημένα· λέγωμεν δὲ ἀναλαβόντες τὸν ἀριθμὸν καὶ τάξιν καὶ διαστήματα τῶν φθόγγων, τέως ἐφ' ἑνὸς τοῦ διατονικοῦ γένους τὸν λόγον ποιούμενοι. τοῦτο γὰρ*

---

11 τόνου] τόνος V¹, τόν F V², τόνον N. δίεσις (om. δὲ) V², δέ εσις V¹, δὲ ἔσις N. 16 γένος erat μέλος N. 19 πδείγματος V²N, πδείγματι V¹. 22 κατὰ τὸ τ. N. 24 δὴ om. N. 27 Addit N marg.: Ὅρα ὅτι τρία γένη ἐστὶν ὁ Γαυδέντιός φησιν, ὡς

μόνον τῶν τριῶν γενῶν ἐπίπαν ἐστὶ τὸ νυνὶ μελῳδούμενον. τῶν δὲ λοιπῶν δυοῖν ἡ χρῆσις ἐκλελοιπέναι κινδυνεύει.

[Διάγραμμα τῶν τριῶν γενῶν ἐν ἑνὶ τετραχόρδῳ.]

Οἱ παλαιοὶ τὸν πάντων βαρύτατον φθόγγον, ἀφ' οὗ τὴν ἀρχὴν ἐπὶ τὸ ὀξὺ τῆς ἁρμονίας ἐποιοῦντο προσλαμβανόμενον ἐκάλουν. τοῦτον δὲ οὐκ ἀεὶ φύσει βαρύτατον ἐλάμβανον, ἀλλὰ καὶ θέσει. καθ' ἕκαστον γὰρ τῶν τρόπων οὐχ ὁ αὐτὸς ἦν προσλαμβανόμενος φθόγγος, ἀλλ' ἐν ἄλλῳ ἄλλος, ὡς μετ' ὀλίγον δειχθήσεται. μετὰ δὲ αὐτὸν ἕτασσον ὑπάτην ὑπάτων ἀεὶ τοῦ προσλαμβανομένου τονιαῖον ἀφεστῶσαν διάστημα κατὰ πάντα τὰ γένη τῆς ἁρμονίας. ἐφεξῆς δὲ παρυπάτην ὑπάτων ἐτίθεσαν ἡμιτονίῳ τῆς ὑπάτης ὀξυτέραν· (p. 7) εἶτα λιχανὸν ὑπάτων τόνον ἀπέχουσαν τῆς παρυπάτης ἐπὶ τὸ ὀξύ, ἥτις καὶ διάτονος ὑπάτων ἐκαλεῖτο ἐν τῷ διατονικῷ γένει. μετὰ δὲ ταύτην ἡ ὑπάτη τῶν μέσων ἐτάσσετο τόνον ὁμοίως ἀπέχουσα τῆς λιχανοῦ ἤτοι διατόνου, καὶ μέχρι ταύτης τὸ τῶν ὑπάτων συνεπληροῦτο σύστημα τετράχορδον, ἀρχόμενον ἀπὸ τῆς ὑπάτης τῶν ὑπάτων καὶ λῆγον εἰς τὴν ὑπάτην τῶν μέσων· ἀφ' ἧς πάλιν ἀρχὴν ἐποιοῦντο τοῦ τετραχόρδου τῶν μέσων·

πάντες οἱ τὴν ἁρμονικὴν τῆς μουσικῆς διδάσ⟨κοντες⟩ ἐπιστήσαιντο, διατονικὸν, χρωματικὸν καὶ ἐναρμόνιον. καὶ τὸ μὲν διατονικὸν ἀεὶ μελῳδεῖται, τὰ δὲ λοιπὰ σπανίως.

4 Hoc lemma refertur ad cap. 5. hoc loco enumerandi erant soni systematis immutabilis, sed utrumque schema periit. Spatium figurae exstat in V inde a 331, 25. 11 ὑπατῶν V N, sed pluribus locis ὑπάτων V U (ὑπατῶν N). cf. ad Eucl. p. 182, 6. 13 κατὰ] καὶ τὰ N. 15 λιχανόν ita semper V in Gaud. et U N.

---

10 δειχθήσεται c. 20 qui sit modorum ordo et qui cuiusque proslambanomenos, vide apud Cleonidem c. 12.

ὡς εἶναι κοινὸν ἀμφοτέρων τῶν τετραχόρδων φθόγγον τὴν ὑπάτην τῶν μέσων, τοῦ μὲν πρώτου τετραχόρδου, τῶν ὑπάτων, ὀξυτάτην ὑπάρχουσαν, τοῦ δὲ δευτέρου τετραχόρδου, τῶν μέσων, βαρυτάτην. μετὰ δὲ ταύτην ἡ παρυπάτη τῶν μέσων ἐστὶν ἡμιτονίῳ τῆς ὑπάτης ὀξυτέρα. καὶ μετ' αὐτὴν ἡ λιχανὸς τῶν μέσων ἤτοι διάτονος μέσων τόνῳ τῆς παρυπάτης ὁμοίως ὀξυτέρα. μετὰ δὲ ταύτην ἡ μέση, τόνῳ καὶ αὐτὴ τῆς τῶν μέσων λιχανοῦ διαφέρουσα. καὶ μέχρι μὲν ταύτης συνεπλήρουν τὸ δεύτερον σύστημα τετράχορδον τῶν μέσων. ἀπὸ δὲ ταύτης ποτὲ μὲν τὸ τῶν συνημμένων προσετίθεσαν τετράχορδον, πάλιν αὐτὴν τὴν μέσην τοῦ ἑφεξῆς τετραχόρδου, καλουμένου δὲ συνημμένου, ποιοῦντες ἀρχὴν καὶ διὰ τοῦτο συνημμένον αὐτὸ λέγοντες· ποτὲ δὲ τὸ τῶν διεζευγμένων, ὅπερ οὐκέτι τὴν ἀρχὴν ἀπὸ μέσης εἶχεν, ἀλλ' ἀπὸ τῆς καλουμένης παραμέσης, ἥτις ἀπὸ τῆς μέσης (p. 8) ἀπεῖχεν ἀεὶ τόνον, τουτέστι κατὰ πάντα τὰ γένη τῆς μελῳδίας.

Δύο τοίνυν ἐποίουν οἱ παλαιοὶ συστήματα τέλεια, τὸ μὲν κατὰ συναφὴν καλοῦντες, τὸ δὲ κατὰ διάζευξιν. ὅτε μὲν οὖν τὸ κατὰ συναφὴν σύστημα ἐποίουν, ἑφεξῆς ἐτίθεσαν τῇ μέσῃ τρίτην συνημμένων νητῶν ἡμιτονίῳ τῆς μέσης ἀπέχουσαν. τρίτῃ δὲ ἑφεξῆς παρανήτην συνημμένων νητῶν τόνῳ τῆς τρίτης ὀξυτέραν. ταύταις δὲ ἑφεξῆς νήτην συνημμένων νητῶν τόνῳ τῆς παρανήτης ὀξυτέραν. ἐκάλουν δὲ τοῦτο τὸ τετράχορδον νητῶν συνημμένων· νητῶν μὲν διὰ τὸ νέατον καὶ πέρας εἶναι τῆς ἐπὶ τὸ ὀξὺ προόδου, συνημμένων δὲ διὰ τὸ μὴ ἀφεστάναι τῶν μέσων, ἀλλὰ

---

3 τῶν om. N^1. 22 συνημμένην V N.

συνῆφθαι τῷ πρὸ αὐτοῦ τετραχόρδῳ κατὰ κοινὸν φθόγγον τὴν μέσην. ἔλεγον δὲ τὴν μὲν ἐγγὺς τῆς μέσης τρίτην διὰ τὸ τρίτην ἀπὸ τέλους ὑπάρχειν, τὴν δὲ ἐφεξῆς τεταγμένην παρανήτην, τὴν δὲ τελευταίαν νήτην, ἅτε δὴ πέρας οὖσαν τῆς ἐπὶ τὸ ὀξὺ κινήσεως, ὡς εἰρήκαμεν.

Ὅτε δὲ τὸ κατὰ διάζευξιν σύστημα ἐποίουν, τῇ μέσῃ παραμέσην ἐφεξῆς ἔταττον τόνῳ τῆς μέσης ἀφεστηκυῖαν ἀεὶ κατὰ πάντα τὰ γένη, καθάπερ κἀπὶ τοῦ προσλαμβανομένου καὶ τῆς τῶν ὑπάτων ὑπάτης εἴρηται· τοῦτον δὲ τὸν τόνον ἐκάλουν τῆς διαζεύξεως. ἀπὸ δὲ τῆς παραμέσης ἀρχὴν ἐποιοῦντο τοῦ τετραχόρδου (p. 9)

Fere hic in ima charta NBH hanc habent figuram, cui nostrae aetatis notas musicas addidi:



Tetrachordorum tituli nimium ad dextram sunt reiecti, tertio titulo additum *νητῶν συνημμένων*. in prima linea ad *λιχανός* addit *ὑπερμ⟨έση⟩* N. multa praeterea insunt menda singulis libris. diagramma systematis synemmenon periit.

---

4 *παρανήτην τεταγμένην* VN, transposuit Meib. 6 *ὡς* om. N.

νητῶν διεζευγμένων καὶ τὸν αὐτὸν τρόπον ἔτασσον ἡμιτονίῳ μὲν ὀξυτέραν τῆς παραμέσης τρίτην νητῶν διεζευγμένων, εἶτα παρανήτην τῶν διεζευγμένων νητῶν τόνῳ τῆς τρίτης ὀξυτέραν, καὶ ἑφεξῆς ταύτης ὀξυτέραν τόνῳ τὴν νήτην τῶν διεζευγμένων νητῶν. ἤρτινα πάλιν ἀρχὴν ἐποιοῦντο τετραχόρδου νητῶν ὑπερβολαίων, τέλος μὲν οὖσαν καὶ ὀξυτάτην τοῦ τετραχόρδου τῶν διεζευγμένων νητῶν, ἀρχὴν δὲ καὶ βαρυτάτην τοῦ τετραχόρδου τῶν ὑπερβολαίων νητῶν. ἑφεξῆς γὰρ αὐτῇ τὴν τρίτην τῶν ὑπερβολαίων νητῶν ὀξυτέραν αὐτῆς ἡμιτονίῳ. ταύτῃ δὲ τὴν παρανήτην ἑφεξῆς ἐτίθεσαν τόνον ἀπέχουσαν τῆς τρίτης. εἶτα τὴν νήτην τῶν ὑπερβολαίων νητῶν, τόνον μὲν αὐτῆς ἀπέχουσαν ἐπὶ τὸ ὀξύ, πέρας δὲ οὖσαν τοῦ δευτέρου συστήματος, τοῦ καλουμένου κατὰ διάζευξιν.

7. Ἐν μὲν οὖν τῷ ἐλάσσονι συστήματι τῷ κατὰ συναφὴν, τρία ἐστὶ τετράχορδα συνημμένα ἀλλήλοις κατὰ κοινοὺς φθόγγους δύο, τὴν μέσην καὶ τὴν ὑπάτην τῶν μέσων, ἔξωθεν δὲ ὁ προσλαμβανόμενος. καὶ συνάγονται φθόγγων δυνάμεις τὸν ἀριθμὸν ἕνδεκα· προσλαμβανόμενος, ὑπάτη ὑπάτων, παρυπάτη ὑπάτων, λιχανὸς ὑπάτων, ὑπάτη μέσων, παρυπάτη μέσων, λιχανὸς μέσων, μέση, τρίτη συνημμένων νητῶν, παρανήτη συνημμένων νητῶν, νήτη συνημμένων νητῶν. ἐν δὲ τῷ μείζονι συστήματι τῷ κατὰ διάζευξιν καλουμένῳ (p. 10) τετράχορδα μέν ἐστι τέσσαρα, τό τε τῶν ὑπάτων καὶ τὸ τῶν μέσων καὶ δύο τῶν νητῶν. ὧν τὰ μὲν ὑπάτων καὶ μέσων συνῆπται ἀλλήλοις κατὰ

---

6 νητῶν] τῶν N sed cum spatio. 9 νητῶν om. V. spatium diagrammatis VN. 11 ταύτῃ V, ταύτης N. 15 spatium diagr. V. 23 et 24 init. συνημμένη bis N.

κοινὸν φθόγγον τὴν ὑπάτην τῶν μέσων, διέζευκται δὲ τῶν λοιπῶν τῷ ἀπὸ μέσης ἐπὶ παραμέσην τόνῳ. τὰ δὲ λοιπὰ δύο τετράχορδα διέζευκται μὲν ἀναγκαίως τῶν πρώτων κατὰ τὸν αὐτὸν τόνον, συνῆπται δὲ ἀλλήλοις κατὰ κοινὸν φθόγγον τὴν νήτην τῶν διεζευγμένων νητῶν, ὁμοίως καὶ τούτοις ἔξωθεν τῶν τετραχόρδων τοῦ προσλαμβανομένου κειμένου. καὶ συνάγονται φθόγγων δυνάμεις τὸν ἀριθμὸν ιε· προσλαμβανόμενος, ὑπάτη ὑπάτων, παρυπάτη ὑπάτων, λιχανὸς ὑπάτων, ὑπάτη μέσων, παρυπάτη μέσων, λιχανὸς μέσων, μέση, παραμέση, τρίτη διεζευγμένων νητῶν, παρανήτη διεζευγμένων νητῶν, νήτη διεζευγμένων νητῶν, τρίτη ὑπερβολαίων νητῶν, παρανήτη ὑπερβολαίων νητῶν, νήτη ὑπερβολαίων νητῶν. ὁμοῦ τοίνυν ἐξ ἀμφοτέρων τῶν συστημάτων φθόγγων συνήχθησαν δυνάμεις τὸν ἀριθμὸν ς καὶ κ, ἐξ ὧν αἱ ὀκτὼ δυνάμεις αἱ μέχρι τῆς μέσης ἐν ἀμφοτέροις εἰσὶ κοιναί. λοιπαὶ ἄρα αἱ πᾶσαι δυνάμεις τῶν φθόγγων εἰσὶν ὀκτωκαίδεκα τὸν ἀριθμὸν, ἐν οἷς πάντα καὶ ᾄδεται καὶ αὐλεῖται καὶ κιθαρίζεται καὶ τὸ σύμπαν εἰπεῖν μελῳδεῖται. φανερώτερον δὲ ἔσται τὸ εἰρημένον ἐκ τοῦ (p. 11) ὑποκειμένου διαγράμματος ὁμοῦ τῶν δύο συστημάτων συνημμένου τε καὶ διεζευγμένου.

Αὕτη μὲν οὖν ἡ σύνθεσίς τε καὶ τάξις τῶν φθόγγων ἐπὶ τοῦ διατονικοῦ γένους. ὀνόματα δὲ ταῦτα τοῖς φθόγγοις ἐν ἅπασι τοῖς γένεσι, πλὴν ὅτι τοῖς κινουμένοις πρὸς μεταβολὴν γένους ἴδιον πρὸς τῷ

---

2 τῷ Meib. not., τῶν VN. 3 τὰ δὲ] Meib. prop. τὰ οὖν. 6 τούτοις corr. V¹. 17 ἀμφοτέροις Meib., ἀμφοτέραις libri. 18 λοιπαὶ Meib. not., λοιπὸν libri. 22 ὁμοῦ Meib. not. add. ἐκτεθέντων. 24 spatium diagr. VN.

κοινῷ καθ' ἕκαστον γένος ἐπιγίνεται, οἷον παρυπάτη ἐναρμόνιος καὶ λιχανὸς χρωματικὴ καὶ λιχανὸς διάτονος. σαφέστερον δὲ ἔσται διὰ τῶν ἐφεξῆς τὸ εἰρημένον.

8. Τῶν δὲ ἐμμελῶν φθόγγων οἱ μέν εἰσιν ὁμόφωνοι, οἱ δὲ σύμφωνοι, οἱ δὲ διάφωνοι, οἱ δὲ παράφωνοι. ὁμόφωνοι μὲν οὖν εἰσιν, οἳ μήτε βαρύτητι μήτε ὀξύτητι διαφέρονται ἀλλήλων. σύμφωνοι δὲ, ὧν ἅμα κρουομένων ἢ αὐλουμένων ἀεὶ τὸ μέλος τοῦ βαρυτέρου πρὸς τὸ ὀξὺ καὶ τοῦ ὀξυτέρου πρὸς τὸ βαρὺ τὸ αὐτό, ἢ ὅταν οἱονεὶ κρᾶσις ἐν τῇ προφορᾷ δυοῖν φθόγγοιν καὶ ὥσπερ ἑνότης παρεμφαίνηται· τότε γὰρ συμφώνους εἶναί φαμεν αὐτούς. διάφωνοι δὲ, ὧν ἅμα κρουομένων ἢ αὐλουμένων οὐδέν τι φαίνεται τοῦ μέλους εἶναι

N hoc habet diagramma, cui ego sonos huius recentis artis infra ascripsi:

οὗτοι οἱ φθόγγοι εἰσὶν οἱ ὀκτωκαίδεκα, δι' ὧν αὐλεῖται καὶ κιθαρίζεται καὶ μελῳδεῖται πᾶν μέλος·

τόν.	ἡμ.	τόν.	τόν.	ἡμ.	τόν.	τόν.	ἡμ.	τόν.	τόν.		ἡμ.	τόν.	τόν.	ἡμ.	τόν.	τόν.	
προσλαμβανόμενος	ὑπάτη ὑπατῶν	παρυπάτη ὑπατῶν	λιχανὸς ὑπατῶν	ὑπάτη μέσων	παρυπάτη μέσων	λιχανὸς μέσων	μέση	τρίτη συνημμένων	παρανήτη συνημμ.	νήτη συνημμένων	παραμέση	τρίτη διεζευγμ.	παρανήτη διεζευγμ.	νήτη διεζευγμ.	τρίτη ὑπερβ.	παρανήτη ὑπερβ.	νήτη ὑπερβ.
A	H	c	d	e	f	g	a	b	c′	d′	h	c′	d′	e′	f′	g′	a′

1 *παρυπάτη*] *λιχανός* N. 6 *οἱ δὲ διάφωνοι* Meib. not. 11 ἢ conf. 338, 2, ᾗ vel ἤ libb. 14 *τοῦ μέλους* an *τὸ μέλος* ut supra?

---

de symphonia vide Marquardum p. 233—239 et quae ego contuli in interpretando Bacchio JA² 17..

τοῦ βαρυτέρου πρὸς τὸ ὀξὺ ἢ τοῦ ὀξυτέρου πρὸς τὸ βαρὺ τὸ αὐτό, ἢ ὅταν μηδεμίαν κρᾶσιν πρὸς ἀλλήλους ἐμφαίνωσιν ἅμα προφερόμενοι. παράφωνοι δὲ οἱ μέσοι μὲν συμφώνου καὶ διαφώνου, ἐν δὲ τῇ κρούσει φαινόμενοι σύμφωνοι· ὥσπερ ἐπὶ τριῶν τόνων φαίνεται ἀπὸ παρυπάτης μέσων ἐπὶ παραμέσην (p. 12) καὶ ἐπὶ δύο τόνων ἀπὸ μέσων διατόνου ἐπὶ παραμέσην.

9. Συμφωνίαι δέ εἰσιν ἐν τῷ τελείῳ συστήματι τὸν ἀριθμὸν ἕξ. πρώτη μὲν ἡ διὰ τεσσάρων, δευτέρα δὲ ἡ διὰ πέντε, τόνῳ τοῦ διὰ τεσσάρων ὑπερέχουσα· ὅθεν καί τινες ὡρίσαντο τὸ τονιαῖον διάστημα διαφορὰν εἶναι τῶν πρώτων δύο συμφώνων κατὰ τὸ μέγεθος. τρίτη δὲ ἐξ ἀμφοτέρων τούτων ἐστὶ συμφωνία σύνθετος, ἡ διὰ πασῶν. τῷ γὰρ διὰ τεσσάρων προστεθὲν τὸ διὰ πέντε τοὺς ἄκρους συμφώνους ποιεῖ· καλεῖται δὲ οὗτος ὁ τρόπος τῆς συμφωνίας διὰ πασῶν. τετάρτη δέ ἐστι συμφωνία τὸ διὰ πασῶν τε ἅμα καὶ διὰ

---

3 ἐμφαίνουσιν libri. 4 κρούσει] Meib. vult κράσει. 6 παραμέσων N. 12 συμφωνῶν N. 14 τῷ] τὸ N. 16 N marg: ὅτι συμφωνίαι ἓξ εἰσιν. ἡ διὰ τεσσάρων πρώτη, δευτέρα ἡ διὰ πέντε, τόνῳ ἑνὶ ὑπερέχουσα τῇ διὰ τεσσάρων, τρίτη ἡ διὰ πασῶν ἐξ ἀμφοτέρων τούτων τῶν δύο συμφωνία σύνθετος. τετάρτη συμφωνία πάλιν τὸ διὰ πασῶν τε ἅμα καὶ διὰ τεσσάρων. ε τὸ διὰ πασῶν τε ἅμα καὶ διὰ πέντε, ἕκτη τὸ ⟨δὶς⟩ διὰ πασῶν. καὶ πλεῖον οὐδέν· οὐ γὰρ ὑποφέρουσι τὴν τάσιν τὰ ὄργανα, κἂν ἐπινοηθῶσιν ἕτερα.

---

3 Paraphonorum consonantiam Pythagorei non statuerunt. (Ptol. harm. 1, 5.) statuit Thrasyllus, qui symphoniarum duas docet esse species, antiphonos i. e. diapason disque diapason, et paraphonos i. e. diapente et diatessaron. (Thras. apud Theonem de mus. c. 5, p. 48.) eadem docet Psellus mus. p. 28: συμφωνεῖ δὲ ἡ μὲν διὰ τεσσάρων διάστασις καὶ ἡ διὰ πέντε ⟨καὶ ἡ διὰ πασῶν καὶ διὰ τεσσάρων καὶ ἡ διὰ πασῶν καὶ διὰ πέντε insert Meibomius not. ad Gaud. 36⟩ κατὰ παράφωνον. — hic autem G. quid velit, v. supra p. 324.

τεσσάρων. πέμπτη τὸ διὰ πασῶν τε ἅμα καὶ διὰ πέντε. ἕκτη τὸ δὶς διὰ πασῶν. δυνατὸν μὲν οὖν καὶ πλείονας ἐπινοηθῆναι συμφωνίας συντιθεμένων τούτων ἀλλήλαις, ἀλλ' οὐκ ἂν ὑποφέροι τὴν τάσιν τὰ ὄργανα πρὸς τὴν δύναμιν τοίνυν τῶν ὀργάνων ἢ τῆς ἀνθρωπίνης φωνῆς ἓξ μόνον ὑπόκεινται ἡμῖν αἱ πᾶσαι συμφωνίαι. καὶ ἔστιν οὕτως τὸ μὲν διὰ τεσσάρων σύμφωνον ἐν παντὶ γένει τῆς μελῳδίας φθόγγων τεσσάρων, διαστημάτων τριῶν, τόνων δύο ἡμίσους, ἡμιτονίων πέντε. τὸ δὲ διὰ πέντε σύμφωνον ὁμοίως κατὰ πάντα τὰ γένη φθόγγων ἐστὶ ε, διαστημάτων ὁ, τόνων τριῶν ἡμίσεος, ἡμιτονίων ἑπτά. τὸ δὲ διὰ πασῶν σύμφωνον φθόγγων ἐστὶν ὀκτὼ, διαστημάτων ἑπτὰ, τόνων ἕξ, ἡμιτονίων δώδεκα. (p. 13) τὸ δὲ διὰ πασῶν καὶ διὰ τεσσάρων φθόγγων μέν ἐστιν ια, διαστημάτων δὲ δέκα, τόνων ὀκτὼ ἡμίσους, ἡμιτονίων ιζ. τὸ δὲ διὰ πασῶν καὶ διὰ πέντε φθόγγων ἐστὶ δώδεκα, διαστημάτων ια, τόνων ἐννέα ἡμίσους, ἡμιτονίων ιθ. τὸ δὲ δὶς διὰ πασῶν φθόγγων ἐστὶ δεκαπέντε, διαστημάτων δεκατεσσάρων, τόνων δώδεκα, ἡμιτονίων κδ.

10. *Λόγοι δέ εἰσιν ἐν ἀριθμοῖς ηὑρημένοι τῶν συμφωνιῶν καὶ δοκιμασθέντες ἀκριβῶς πάντα τρόπον τῆς μὲν διὰ τεσσάρων ἐπίτριτος, ὃν ἔχει τὰ κδ πρὸς τὰ ιη· τῆς δὲ διὰ πέντε ἡμιόλιος, ὃν ἔχει ὁ κδ πρὸς τὸν ις· τῆς δὲ διὰ πασῶν διπλάσιος, ὃν ἔχει ὁ κδ πρὸς τὸν ιβ· τῆς δὲ διὰ πασῶν τε ἅμα καὶ διὰ τεσσάρων διπλασιεπιδίμοιρος, ὃν ἔχει ὁ κδ πρὸς τὸν θ. καὶ

4 ὑποφέρει N. 5 ἡ] Meib. not. καί. 6 ἓξ μόνον ego, ἐξ ὧν VN. 12 ἥμισυ V, ἥμισος N. 20 spatium diagr. V. 22 ἀκριβῶς] ἀκριβεῖς Meib. not. 23 ἐπίτριτ. extremas litt. om. N. 27 τὰ κδ libb.

πάλιν τῆς μὲν διὰ πασῶν καὶ διὰ πέντε τριπλάσιος, ὃν ἔχει ὁ κδ πρὸς τὸν ὀκτώ. τῆς δὲ δὶς διὰ πασῶν τετραπλάσιος, ὃν ἔχει ὁ κδ πρὸς τὸν ἓξ.

11. Τὴν δὲ ἀρχὴν τῆς τούτων εὑρέσεως Πυθαγόραν ἱστοροῦσι λαβεῖν ἀπὸ τύχης παριόντα χαλκεῖον τοὺς ἐπὶ τὸν ἄκμονα κτύπους τῶν ῥαιστήρων αἰσθόμενον διαφώνους τε καὶ συμφώνους. εἰσελθὼν γὰρ εὐθὺς τὴν αἰτίαν τῆς τε διαφορᾶς τῶν κτύπων καὶ τῆς συμφωνίας ἠρεύνα. καὶ ταύτην εὑρίσκει σταθμῶν διαφόρων ἰδὼν τὰς σφύρας, τοὺς δὲ ἐν τοῖς σταθμοῖς λόγους (p. 14) τῶν μεγεθῶν αἰτίους τῆς τε διαφορᾶς καὶ συμφωνίας τῶν ψόφων. τὰς μὲν γὰρ ἐπίτριτον ἐν τοῖς σταθμοῖς ἐχούσας λόγον τοῖς ψόφοις διὰ τεσσάρων εὑρίσκει συμφωνούσας, τὰς δὲ τὸν ἡμιόλιον σταθμὸν ἑλκούσας ἐν τῷ κτύπῳ καταλαμβάνει τὴν διὰ πέντε συμφωνίαν ἀποτελεῖν, τὰς δὲ διπλασίας τῷ σταθμῷ διὰ πασῶν συμφωνεῖν ἐν τοῖς ἤχοις αἰσθάνεται.

Ἐντεῦθεν ἀρχὴν τῆς τῶν συμφώνων ὁμολογίας πρὸς τοὺς ἀριθμοὺς ποιησάμενος μεταφέρει τὴν ἔρευναν

---

3 spat. diagr. V. 4 N marg.: περὶ τῆς εὑρέσεως τοῦ ὀργάνου τῆς κιθάρας ἥτις καὶ λύρα λέγεται. 15 ἑλκούσας V, ἐχούσας N.

N et H hoc habent diagramma:



quod ita ego emendandum et interpretandum puto:



ἐπὶ τρόπον ἕτερον. δύο γὰρ ἐξάψας χορδὰς ἴσας τε καὶ ὁμοίας καὶ τῆς αὐτῆς ἐργασίας, τῆς μὲν ἑξαρτᾷ βάρος μερῶν τριῶν, τῆς δὲ ἑτέρας μερῶν τεσσάρων, καὶ κρούσας ἑκατέραν εὑρίσκει συμφώνους κατὰ τὴν διὰ τεσσάρων λεγομένην συμφωνίαν. πάλιν δὲ ἑκατέρας ἐξάψας ἡμιόλια βάρη κρούσας εὑρίσκει συμφωνούσας αὐτὰς ἀλλήλαις κατὰ τὴν διὰ πέντε συμφωνίαν. διπλασίονα δὲ ἐπειδὴ τὰ βάρη καθῆψε, διὰ πασῶν εὗρε συμφωνούσας τὰς χορδάς. τριπλασίονα δὲ ποιήσας τὸ διὰ πασῶν τε ἅμα καὶ διὰ πέντε σύμφωνον ἐθεώρει. καὶ τὰ ἑξῆς ὁμοίως.

Ἀλλ' οὐδὲ τῇ πείρᾳ τούτων ἀρκεσθεὶς μόνῃ βασανίζει τρόπον ἄλλον τὴν μέθοδον. χορδὴν γὰρ τείνας ἐπὶ κανόνος τινὸς καὶ τὸν κανόνα διελὼν εἰς μέρη ιβ, πρῶτον μὲν πᾶσαν κρούσας, εἶτα τὸ ἥμισυ αὐτῆς τὸ τῶν ἓξ μερῶν, σύμφωνον ηὕρισκε τὴν πᾶσαν τῷ ἡμίσει κατὰ διὰ πασῶν· ὅπερ καὶ ἐν ταῖς πρώταις μεθόδοις ἐν διπλασίονι λόγῳ κατελάμβανεν. (p. 15) ἔπειτα πᾶσαν καὶ τὰ τρία μέρη τῆς πάσης κρούσας τὸ διὰ τεσσάρων ἑώρα σύμφωνον. πᾶσαν δὲ καὶ τὰ δύο μέρη τῆς πάσης κτυπήσας τὴν διὰ πέντε συμφωνίαν εὑρίσκει, καὶ τὰς ἄλλας ὁμοίως. ἔπειτα δὲ καὶ ἄλλως πολυτρόπως ταῦτα βασανίσας εὑρίσκει τοὺς αὐτοὺς τῶν συμφωνιῶν λόγους ἐν ἀριθμοῖς εἶναι τοῖς εἰρημένοις.

12. Συμβαίνει δὲ ἐκ τῶν εἰρημένων τὸ τονιαῖον διάστημα λόγον ἔχειν ἐπόγδοον. εἰ γὰρ ἔστιν ὁ τόνος, ᾧ διαφέρει τοῦ διὰ πέντε τὸ διὰ τεσσάρων σύμφωνον, ὑποκείσθω τὸ μὲν διὰ τεσσάρων ἀριθμῶν

8 a διὰ πασῶν N errat ad 10 δ. πασ. 19 πᾶσαν δὲ καὶ N. 29 τὸ μὲν] τὰ μὲν libri.

ἓξ καὶ ὀκτώ, τὸ δὲ διὰ πέντε ἀριθμῶν ἓξ καὶ ἐννέα. ἡ μὲν οὖν ὑπεροχὴ τοῦ ἡμιολίου λόγου πρὸς τὸν ἐπίτριτον λόγος ἐστὶν, ὃν ἔχει τὰ ὀκτὼ πρὸς τὰ ἐννέα. ἔστι δὲ καὶ ἡ ὑπεροχὴ τοῦ διὰ τεσσάρων πρὸς τὸ διὰ πέντε τόνος. λόγον ἄρα ἕξει ὁ τόνος, ὃν τὰ ὀκτὼ πρὸς τὰ ἐννέα.

13. Τὸ δὲ ἡμιτόνιον καλούμενον οὐκ ἔστιν ἀκριβῶς ἡμιτόνιον· λέγεται δὲ κοινῶς μὲν ἡμιτόνιον, ἰδίως δὲ λεῖμμα, καὶ ἔχει λόγον, ὃν τὰ ϲμϝ πρὸς τὰ ϲνϛ. πρώτως οὖν θεωρητέον, ὅτι λόγον ἔχει τὸ καλούμενον ἡμιτόνιον, ὃν τὰ ϲμϝ πρὸς τὰ ϲνϛ, εἶτα ὅτι τὰ ϲμϝ πρὸς τὰ ϲνϛ ἔλαττον περιέχουσιν ἡμιτονίου διάστημα. ἐκκείσθω γάρ τις φθόγγου δύναμις ἐν ἀριθμῷ τῷ ΞΔ καὶ τούτῳ παρακείσθω φθόγγος τόνον ἀπέχων, τουτέστιν ἀριθμῶν οβ, (p. 16) καὶ ἔτι τούτοις τρίτος παρακείσθω φθόγγος ἀπέχων τόνον ἀπὸ τοῦ δευτέρου, τουτέστιν ἀριθμῶν πα. ὁ δὲ τέταρτος εἰς συμπλήρωσιν τοῦ τετραχόρδου λαμβανόμενος, ἀνάγκῃ τῷ πρώτῳ διὰ τεσσάρων σύμφωνος, λόγον ἕξει πρὸς τὸν ΞΔ τὸν ἐπίτριτον, τουτέστιν ἀριθμῶν ἔσται πε καὶ τρίτου, καὶ ὁ τέταρτος ἄρα φθόγγος πρὸς τὸν τρίτον λόγον ἕξει τῶν πε γ′ πρὸς τὰ πα, ὅπερ ἐστὶν ἐν τελείοις ἀριθμοῖς ὁ τῶν ϲνϛ πρὸς τὰ ϲμϝ. καὶ ὅσοι δὲ ἐν μείζοσιν ἀριθμοῖς μετὰ δύο ἑπογδόους τὸ λεῖπον τοῦ τετραχόρδου συμπληροῦσι, κατὰ τοῦτον τὸν λόγον ἀναπληρώσουσι, τουτέστιν ὃν ἔχει τὰ ϲμϝ πρὸς τὰ ϲνϛ.

---

9 λεῖμμα N, λίμμα V, item 343, 10 ss. de limmatis ratione invenienda cf. Theonem de mus. c. 34. 12 πρὸς τὰ N, πρὸς V. 18 ἀνάγκῃ Meib., iota hic ut semper libb. om. 19 σύμφωνον libri, em. Meib. 20 τουτέστιν — ὁ τῶν ϲνϛ N mg. ἀριθμός N. 21 τρίτον N. καὶ ὁ τέτ. κτλ. ego supplevi.

14. *Τούτου δὲ θεωρηθέντος πάλιν ῥητέον, ὅτι οὗτος ὁ λόγος ἐλάττων ἡμιτονίου. ἔστι μὲν γὰρ ἐλάττων ἢ ἐφεπτακαιδέκατος ὁ* cvs *τοῦ* cμγ. *δύο δὲ ἐφεπτακαιδέκατοι συντεθέντες οὐ συμπληροῦσιν ἐπόγδοον, ὥστε ὁ μὲν ἐφεπτακαιδέκατος λόγος λείπει ἥμισυς εἶναι ἐπογδόου. ὁ δὲ τῶν* cvs *πρὸς τὰ* cμγ *λειπόμενος καὶ τοῦ ἐφεπτακαιδέκατος εἶναι, πολὺ ἄν μᾶλλον λείποιτο ἥμισυς εἶναι τοῦ ἐπογδόου. ἔλαττον ἄρα τὸ λεγόμενον ἡμιτόνιον τοῦ ἀληθῶς ἡμιτονίου, διόπερ λεῖμμα ἐκλήθη, καὶ λόγον ἔχει, ὃν τὰ* cμγ *πρὸς τὰ* cvs.

Τοῦ δὲ λείμματος τὸ λεῖπον εἰς συμπλήρωσιν τόνου καλεῖται ἀποτομή, κοινῶς δὲ καὶ αὐτὸ ἡμιτόνιον, ὥστε ἔσται τῶν ἡμιτονίων τὸ μὲν μεῖζον, τὸ δὲ ἔλαττον. (p. 17) *χρῆται δὲ τὸ μὲν διατονικὸν γένος τῷ ἐλάττονι, τὸ δὲ χρωματικὸν ἀμφοτέροις.*

15. *Τούτων οὖν οὕτως ὑποτεθέντων ἐκκείσθω τὸ διάγραμμα τῶν φθόγγων διατονικὸν μετὰ τῶν ἐπιβαλόντων τοῖς φθόγγοις ἀριθμῶν ἐν τῷ αὐτῷ διαγράμματι* [*ἐν ἄλλοις ἀριθμοῖς τοῦ ἐλάσσονος πρὸς τῷ προσλαμβανομένῳ τιθεμένου*].

---

1 *θεορ.* N. 3 *ἢ*] *ἡ* V. de ratione 18 : 17 cf. Proclum in Tim. p. 195. 4 spat. diagr. V. *συντιθέντες* N. 16 *ὑποτεθ.* V^2, *ἀποτεθ.* V^1, *ὑποτιθ.* N. 17 *διατονικόν* Meib., *διατονικός* libb. *ἐπιβαλλόντων* N, sed cf. p. 344, 19. 18 *ἐν* add. Meib. not., idem post *διαγράμματι* supplet *τοῦ μείζονος τῷ βαρυτάτῳ ἀποδιδομένου.* 19 *ἔν ἄλλοις κτλ.* refero ad 344, 10; tamen dubito scripseritne Gaud. — Meib. alteram proponit emendationem: *ἀριθμῶν, ἐν μὲν τῷ πρώτῳ διαγράμματι τοῦ μείζονος ἀριθμῶν, ἐν δὲ δευτέρῳ τοῦ ἐλάσσονος πρὸς τῷ προσλαμβανομένῳ τιθεμένου.* 20 spat. diagr. V.

$$\frac{17}{18} = \frac{192}{203{,}4} \qquad \frac{243}{256} = \frac{192}{202{,}272}.$$

Prius diagramma p. 344 veterem Pythagorae sequitur rationem (p. 122), alterum morem recentiorum (p. 141).

Ἐν μὲν οὖν τῷ πρώτῳ διαγράμματι προσλαμβανομένου τεθέντος ,βτδ ἡ ὑπάτη ὑπάτων τόνον ἀπέχουσα τοῦ προσλαμβανομένου κατὰ τὸν λόγον, ὃν ἔχει τὰ θ πρὸς τὰ η, ἀριθμῶν ὑπόκειται ,βμη. ἡ δὲ παρυπάτη τῶν ὑπάτων ἡμιτόνιον ἀπέχουσα τῆς ὑπάτης, ὅπερ κυρίως λεῖμμα προσαγορεύεται, κατὰ τὸν λόγον, ὃν ἔχει τὰ σνς πρὸς τὰ σμγ, εἰκότως ἀριθμῷ ὑπόκειται ,αϡμδ. καὶ τὰ λοιπὰ δὲ διαστήματα κατὰ τὸν λόγον τῶν τε τόνων καὶ ἡμιτονίων ὁμοίως ἔκκειται. ἐν δὲ τῷ δευτέρῳ διαγράμματι τοῦ προσλαμβανομένου τεθέντος ἀριθμῶν χμη ἡ ὑπάτη τῶν ὑπάτων ἀκολούθως ἀριθμῶν ὑπόκειται ψκθ. ἡ δὲ παρυπάτη τῶν ὑπάτων ἀριθμῶν ὑπόκειται ψξη. καὶ τὰ ἄλλα πάντα ἀκολούθως τοῖς τόνοις καὶ ἡμιτονίοις παρηύξηται ὁμοίως τοῖς πρώτοις, πλὴν ὅτι ἐξ ἐλαττόνων ἐπὶ τοὺς μείζονας οἱ ἀριθμοὶ προχωροῦσιν.

16. Ἐφεξῆς δὲ ἐκθήσομαι διάγραμμα χρωματικοῦ γένους συντόνου ἔχον τοὺς φθόγγους μετὰ τῶν ἐπιβαλόντων αὐτοῖς ἀριθμῶν. ἐν ᾧ καὶ δῆλον γίνεται, ὅτι τὸ χρωματικὸν γένος ἀμφοτέροις κέχρηται τοῖς ἡμιτονίοις, (p. 18) τῷ τε ἐλάσσονι, καὶ τῷ μείζονι, τουτέστι τοῦ τε λείμματος καὶ τῇ ἀποτομῇ. ἄρχεται δὲ ὁ προσλαμβανόμενος ἀπὸ τοῦ μεγίστου τῶν ἀριθμῶν β ψλς. ἑξῆς ἡ ὑπάτη.

17. Τῶν δὲ ὀκτωκαίδεκα φθόγγων οἱ μὲν ἑστῶτές

4 ἀριθμῶν intell. unitatum, ut l. 11—13. an ἀριθμῷ ut l. 7? 8 ϡ Meib., ψ libri. 9 τε om. N¹. 10 τοῦ om. N. 11 ἀριθμοῦ N. 13 ἀριθμῷ N. 24 ἡ ὑπάτη Meib. ἡ $\kappa_{\nu}^{\tau'}$ V. ἡ κάτω NU. spat. diagr. VN. 25 Meib. prop. οἱ μὲν η ἑστῶτές εἰσιν, οἱ δὲ ι κινούμενοι.

C 17. Ad sonos mobiles immobilesque cf. Cleonid. c. 4.

εἰσιν, οἱ δὲ καὶ κινούμενοι. ἑστῶτες μὲν οἵδε· προσλαμβανόμενος, ὑπάτη ὑπάτων, ὑπάτη μέσων, μέση, νήτη συνημμένων, παραμέση, νήτη διεζευγμένων νητῶν, νήτη ὑπερβολαίων νητῶν. κινούμενοι δὲ οὗτοι· αἵ τε παρυπάται καὶ λιχανοὶ καὶ αἱ τρίται τε καὶ αἱ παρανῆται, ἐπειδήπερ ἐν ταῖς τῶν γενῶν μεταβολαῖς οὗτοι οἱ φθόγγοι τὴν ἑαυτῶν τάσιν μεταβάλλουσι· διὸ καὶ προσλαμβάνουσι τῷ κοινῷ ὀνόματι ἴδιον πρὸς τὸ γινόμενον τοῦ γένους ἑκάστου. καλεῖται γὰρ, οἷον εἰπεῖν, λιχανὸς μέσων ἐναρμόνιος, λιχανὸς μέσων χρωματική, λιχανὸς μέσων διάτονος. ὁ δὲ αὐτὸς λόγος καὶ περὶ τῶν παρανητῶν τε καὶ παρυπάτων καὶ τρίτων.

18. Ἔτι [γὰρ] περὶ συστημάτων ἀναλήψομαι. τῶν δὲ τετραχόρδων εἴδη ἐστὶν ἤτοι σχήματα τρία. γίνεται δὲ ταῦτα, ὅταν τοῦ αὐτοῦ μεγέθους τῶν τετραχόρδων σωζομένου καὶ τοῦ ἀριθμοῦ τῶν συστημάτων ἡ τάξις μόνη καὶ ἡ σύνθεσις ἀλλοίωσιν λάβῃ. πρῶτον μὲν οὖν εἰδός ἐστι τὸ ἀπὸ ὑπάτης ὑπάτων ἐπὶ ὑπάτην μέσων, ἐν ᾧ τὸ ἡμιτόνιον πρῶτον ἐπὶ τὸ βαρύ. δεύτερον δὲ τὸ ἀπὸ παρυπάτης ὑπάτων ἐπὶ παρυπάτην μέσων, ἐν ᾧ τὸ ἡμιτόνιον τρίτον ἐπὶ τὸ ὀξύ. (p. 19) τρίτον δὲ τὸ ἀπὸ λιχανοῦ ἐπὶ λιχανὸν, ἐν ᾧ τὸ ἡμιτόνιον μέσον. καὶ τὰ ἄλλα τούτοις ἐστὶν ὅμοια.

Τοῦ δὲ διὰ πέντε εἴδη ἐστὶν ἤτοι σχήματα τέσσαρα. πρῶτον μὲν τὸ ἀπὸ ὑπάτης μέσων ἐπὶ παραμέσην, ἐν ᾧ τὸ ἡμιτόνιον πρῶτον ἐπὶ τὸ βαρύ. δεύτερον δὲ τὸ ἀπὸ

---

2 ὑπάτων μέση VN. 3 νήτη σ.] vid. τρίτη σ. N. 4 οὗτοι N, αὐτοί V. 12 παρυπάτων V, παρυπάτῶν N. 23 μέσων N¹.

Ad diatessaron diapente diapason formas diversas cf. Cleon. c. 9. JA² 10ᵇ.

παρυπάτης μέσων ἐπὶ τρίτην διεζευγμένων, ἐν ᾧ τὸ ἡμιτόνιον τελευταῖον ἐπὶ τὸ ὀξύ. τρίτον δὲ τὸ ἀπὸ λιχανοῦ μέσων ἐπὶ παρανήτην διεζευγμένων, ἐν ᾧ τὸ ἡμιτόνιον δεύτερον ἀπὸ τέλους. τέταρτον ἀπὸ μέσης ἐπὶ νήτην διεζευγμένων, ἐν ᾧ τὸ ἡμιτόνιον δεύτερον ἀπ' ἀρχῆς.

19. Τοῦ δὲ διὰ πασῶν ὀκταχόρδου συνάγεται μὲν εἴδη ἤτοι σχήματα ιβ, διὰ τὸ τοῦ μὲν διὰ τεσσάρων εἶναι σχήματα τρία, τοῦ δὲ διὰ πέντε δεδεῖχθαι σχήματα τέσσαρα, ἐξ ἀμφοῖν δὲ συντίθεσθαι τὸ διὰ πασῶν. οὐ μὴν ἀλλὰ τά γε ἐμμελῆ καὶ σύμφωνα αὐτοῦ εἴδη ἐστὶν ἤτοι σχήματα ἑπτά· τὴν δὲ αἰτίαν ὕστερον ἀποδώσομεν. πρῶτον μὲν τὸ ἀπὸ ὑπάτης ὑπάτων ἐπὶ παραμέσην, συγκείμενον ἐκ τοῦ πρώτου τῶν διὰ τεσσάρων καὶ τοῦ πρώτου τῶν διὰ πέντε. δεύτερον δὲ τὸ ἀπὸ παρυπάτης ὑπάτων ἐπὶ τρίτην διεζευγμένων, συγκείμενον ἐκ τοῦ δευτέρου τῶν διὰ τεσσάρων καὶ δευτέρου τῶν διὰ πέντε. τρίτον δὲ τὸ ἀπὸ λιχανοῦ ὑπάτων ἐπὶ παρανήτην διεζευγμένων, συγκείμενον ἐκ τοῦ τρίτου τῶν διὰ τεσσάρων καὶ τρίτου τῶν διὰ πέντε. τέταρτον τὸ ἀπὸ ὑπάτης μέσων (p. 20) ἐπὶ νήτην διεζευγμένων, συγκείμενον ἐκ τοῦ πρώτου τῶν διὰ πέντε καὶ πρώτου διὰ τεσσάρων. πέμπτον τὸ ἀπὸ παρυπάτης μέσων ἐπὶ τρίτην ὑπερβολαίων, συγκείμενον ἐκ τοῦ δευτέρου διὰ πέντε καὶ δευτέρου διὰ τεσσάρων. ἕκτον τὸ ἀπὸ λιχανοῦ μέσων ἐπὶ παρανήτην ὑπερβολαίων, συγκείμενον ἐκ τοῦ τρίτου

3 μέσον N. 4 spat. diagr. V. 15 ἐ. τὴν τρίτην N. 16 δευτέρου τοῦ δ. τ. VN, item 17 τοῦ δ. π. VN. 17 λιχ. ὑπ' αὐτῶν N. 20 spat. diagr. V. 21 πρώτων δ. τ. corr. N².

ιβ. fieri quidem possunt δυνάμει 12 species, si non artis et naturae certa ratione finitur numerus. cf. Aristox. princ. § 18, p. 6, 25 Mb. de horum modorum natura et de Westphali erroribus vide quae citavi ad Cleon. p. 197.

τῶν διὰ πέντε καὶ τρίτου τῶν διὰ τεσσάρων. ἕβδομον τὸ ἀπὸ μέσης ἐπὶ νήτην ὑπερβολαίων ἢ ἀπὸ προσλαμβανομένου ἐπὶ μέσην, συγκείμενον ἐκ τοῦ τετάρτου τῶν διὰ πέντε καὶ πρώτου τῶν διὰ τεσσάρων ἢ πάλιν ἐκ τοῦ τρίτου τῶν διὰ τεσσάρων καὶ τετάρτου τῶν διὰ πέντε. καλεῖται δὲ τὸ μὲν πρῶτον εἶδος τοῦ διὰ πασῶν μιξολύδιον, τὸ δὲ δεύτερον λύδιον, καὶ τὸ τρίτον φρύγιον, τὸ δὲ τέταρτον δώριον, καὶ τὸ πέμπτον ὑπολύδιον, καὶ τὸ ἕκτον ὑποφρύγιον, τὸ δὲ ἕβδομον κοινὸν ἐκαλεῖτο καὶ λοκρικὸν καὶ ὑποδώριον.

20. Ἐχρήσαντο δὲ οἱ παλαιοὶ [ὀνόμασι] πρὸς τὴν σημασίαν τῶν ὀκτωκαίδεκα φθόγγων καὶ γράμμασι, τοῖς καλουμένοις σημείοις μουσικοῖς, περὶ ὧν νῦν ῥητέον. ἡ τῶν μουσικῶν σημείων ἔκθεσις γέγονε μὲν ἐπὶ σημειώσει τῶν φθόγγων, ὅπως μὴ τὰ ὀνόματα καθ' ἕκαστον γράφοιτο, καὶ ἑνὶ δὲ σημείῳ δύναιτό τις ἐπιγινώσκειν καὶ ἀποσημειοῦσθαι φθόγγον. ἐπεὶ δὲ οἱ φθόγγοι διαφόρῳ τάσει κινοῦνται καὶ οὐκ ἐπὶ τοῦ αὐτοῦ τόπου πάντως μένουσιν, οὐχ ἑνὸς δήπουθεν σημείου καθ' ἕκαστον τῶν φθόγγων, ἀλλὰ διαφόρων (p. 21) ἐδέησεν, ὥστε καὶ τὴν διάφορον τάσιν αὐτοῦ σημαίνειν. καθ' ἕκαστον γὰρ τρόπον ἢ τόνον διαφέροντες τῇ τάσει πάντες πάντων οἱ φθόγγοι γίνονται. οἷον ποτὲ μὲν τὸν φύσει βαρύτατον φθόγγον προσλαμβανόμενον, ὡς ἐν τῷ ὑποδωριῷ τρόπῳ, τιθέμεθα καὶ μέσην τὸν πρὸς τοῦτον ἀντίφωνον, καὶ τοὺς ἄλλους κατὰ τὴν πρὸς αὐτοὺς σχέσιν ὀνομάζομεν· ποτὲ δὲ αὖ

---

5 καὶ om. V N. 7 λύδιον. quae sequuntur om. N ad 8 ὑπολύδιον. 10 spat. diagr. V. 11 ἐχρήσατο N¹. ὀνομ. an σχήμασι? cf. Bacch. 97. 16 καὶ ἑ. δὲ v. ad 328, 25. 23 γένονται N. 26 τὸν Meib. not., τὴν libri. 27 αὖ τὴν] αὐτὴν V N.

τὴν μέσην τὴν νῦν ἀντίφωνον τῷ προσλαμβανομένῳ ἐν τάξει προσλαμβανομένου θέμενοι καὶ τὴν ταύτης ἀντίφωνον μέσην ὑποθέμενοι καὶ τοὺς ἄλλους τούτοις ἀνάλογον, οὕτω χρώμεθα τῷ παντὶ συστήματι. πολλάκις δὲ καὶ τῶν μεταξὺ προσλαμβανομένου καὶ μέσης ἕνα τινὰ παραλαβόντες εἰς ἀρχὴν τοῦ συστήματος προσλαμβανομένῳ τε αὐτῷ χρώμεθα καὶ τὴν τάσιν τοῦ παντὸς συστήματος πρὸς τοῦτον ἁρμόζομεν. ἀνάγκη δέ ἐφ' ἑκάστου συστήματος πλειόνων προτεθέντων συστημάτων ὡς ἡ μέση πρὸς τὴν μέσην ἔχει, ἢ ὡς ὁ προσλαμβανόμενος πρὸς τὸν προσλαμβανόμενον, οὕτως ὁντινοῦν τῶν ὁμωνύμων ἔχειν πρὸς τὸν ὁμώνυμον καὶ ἅπαν τὸ σύστημα πρὸς ἅπαν τὸ σύστημα.

Οὐχ ἑνὸς δὴ οὖν σημείου καθ' ἕκαστον τῶν φθόγγων ἐδέησεν, ἀλλὰ πλειόνων καὶ τοσούτων, ὅσοισπερ ἡμιτονίοις παραυξάνεσθαι τῶν φθόγγων ἕκαστος δύναται. τὸ μὲν οὖν ὅσοις παραυξάνεσθαι δύναται τῶν φθόγγων ἕκαστος ἡμιτονίοις, οὐ ῥᾴδιον ἀφορίσαι. πρὸς γὰρ τὰς κατασκευὰς τῶν ὀργάνων καὶ τὴν δύναμιν

---

2 ταύτην N. 5 τῶν] τὸν libri. 11 πρὸς τὸν προσλαμβανόμενον Meib., om. libri. 12 τὸν] τὸ VN.

---

1 μέσην ἐν τάξει προσλ. dicit G.: interdum eum sonum qui adhuc fuit mese (hypodorica) habemus pro proslambanomeno (toni hyperphrygii) et ei qui diapason acutius sonat nomen damus mediae (hyperphrygiae). v. p. 203 vel JA¹ 21. 15 πλειόνων. non hoc referendum ad semitonia diesesque singulis gradibus propria, sed ad tonorum vel troporum numerum. proslambanomenon enim dicit vel mesen non eodem semper signo notari, sed in alio tono aliud signum esse adhibendum. ac veteres toni, dorius phrygius lydius, medium aliquod sonorum spatium amplexi erant, contra novae formae lyrarum, maiores minoresve tibiae etiam acutioribus vel gravioribus sonis utebantur, ut systema sonorum ad maiorem ambitum extenderetur.

τῆς ἀνθρωπίνης φωνῆς τὰ τοιαῦτα ὁρίζεται. (p. 22) τὸ δὲ ὅπως παραυξανόμενος [ἐν] διαφόροις σημείοις ἀποσημαίνεται, ἐκ τῶν διαγραμμάτων ἐν ταῖς μουσικαῖς εἰσαγωγαῖς ῥᾳδίως ἄν τις καταμάθοι.

21. Θεωρητέον δὲ νῦν μόνον τὴν καθ' ἡμιτόνιον τάξιν τῶν σημείων, ὃν τρόπον συνέστηκεν. ὑποκείσθω τις φθόγγου δύναμις βαρυτάτη καὶ πρώτως ἀκουστή. ταύτην οἱ παλαιοὶ κατεσημήναντο τῷ ἡμίφι πλαγίῳ καὶ ἀρχὴν τῶν σημείων ἔθεντο τοῦτο πρῶτον ⊃. δῆλον δή, ὅτι κατ' αὐτὴν τὴν δύναμιν προσλαμβανόμενον ἄν τις λάβοι καὶ ἄλλον οὐδένα τῶν φθόγγων. εἰ γὰρ ἄλλον τινὰ λάβοι, ποῦ τὸν προσλαμβανόμενον τάξει βαρυτάτης ὑποκειμένης τῆς τοῦ ἡμίφι δυνάμεως; ἔστω δὴ τούτου τοῦ φθόγγου [πάλιν] ἡμιτονίῳ τις ὀξύτερος ἐφεξῆς. τοῦτον οἱ παλαιοὶ τῷ ταῦ σημείῳ ἀπεσημήναντο Τ. καὶ δῆλον, ὅτιπερ ἡ τάσις τοῦ φθόγγου προσλαμβανομένῳ μόνον ἁρμόσει. εἰ γὰρ τῇ ὑπάτῃ τῶν ὑπάτων ἁρμόσει ἢ ἄλλῳ τινὶ τῶν φθόγγων, ποῦ λοιπὸν ἔσται ὁ προσλαμβανόμενος, τόνῳ τῆς ὑπάτης τῶν ὑπάτων ὀφείλων εἶναι βαρύτερος, ἡμιτονίου γὰρ ἐπὶ τὸ βαρὺ μόνη χώρα καταλέλειπται. ἀλλὰ μὴν ἔστω τις τοῦ κατὰ τὸ Τ φθόγγου πάλιν ὀξύτερος ἡμιτονίῳ, ὃν οἱ παλαιοὶ τῷ διπλῷ σίγμα κατεσήμαινον Ξ. οὗτος δύναται μὲν εἶναι καὶ προσλαμβανόμενός τινος

4 εἰσαγωγαῖς Meib. cf. infra 350, 18. 9 ⊃ apud Alypium est ɔ. exponit enim G. signa illa vetera quae dicuntur instrumentorum. 22 Τ] ταῦ N.

5 Hinc quae sequuntur germanice vertit optimeque interpretatur Frid. Bellermann, die Tonleitern und Musiknoten der Griechen. (Berol. 1847) p. 57.

συστήματος, δύναται δὲ εἶναι καὶ ὑπάτη ὑπάτων· (p. 23) ἀπέχει γὰρ τοῦ πρώτου καὶ βαρυτάτου φθόγγου τόνον. ἀεὶ τοίνυν ὁμοίως τὸν ἡμιτονίῳ φθόγγον τοῦ προτέρου ὀξύτερον σημειούμενοι προέβησαν μέχρι τριακοστοῦ στίχου τῶν ἡμιτονίων. τὴν δὲ ὑπὲρ ταῦτα κατ' ἡμιτόνιον παραύξησιν τῶν φθόγγων τοῖς αὐτοῖς σημείοις ἐξ ὑπαρχῆς ὀξείας προσθέντες ἐσημειοῦντο ἀπὸ τοῦ ἐννεακαιδεκάτου ἀρξάμενοι στίχου, ὃς ἔχει ου καὶ κάππα σημεῖον. ἔθεσαν δὲ διπλᾶ κατ' ἕκαστον στίχον τὰ σημεῖα· ὧν τὸ μὲν ἄνω τὴν λέξιν ἀποσημαίνει, τὸ δὲ κάτω τὴν κροῦσιν. ἔθεντο δὲ καὶ τὰ λεγόμενα ὁμότονα, οἷς ἀδιαφόρως ἀντὶ τῶν ἑτέρων ἔξεστι κεχρῆσθαι, καὶ οὐδὲν διοίσει, οἱῳδήποτε τῶν πολλῶν μὲν, ὁμοτόνων δὲ χρήσασθαι πρὸς σημείωσιν. παρέχει δὲ καὶ χρείαν ἄλλην τὰ ὁμότονα. τὰς γὰρ διέσεις ἐν τῷ ἁρμονικῷ καὶ χρωματικῷ γένει διὰ τούτων ἐφεξῆς τιθεμένων σημειοῦνται. εἴρηται δὲ περὶ αὐτῶν ἐν ταῖς εἰσαγωγαῖς.

22. Νυνὶ δὲ ἐκκείσθωσαν ἡμῖν ἐπὶ κανονίου τὰ καθ' ἡμιτόνιον σημεῖα σὺν τοῖς ὁμοτόνοις, τῶν μὲν ὁμοτόνων ἐν τῷ αὐτῷ σελιδίῳ κειμένων, τῶν δὲ καθ' ἡμιτόνιον ὀξυτέρων εἰς τὸ ἐφεξῆς. (v. pag. 356.)

Ὁ μὲν οὖν πρῶτος στίχος τῶν σημείων ἐν τοῖς

---

4 προσέβ. N. 13 οἱῳδήποτε, linea sub δή V. 18 συναγωγαῖς N. 20 καθημιτ. V, item l. 21. 22 spat. diagr. V.

---

4 τριακοστοῦ et 8 ἐννεακαίδ. στίχον. ubi tabulam, qualem vides p. 356, per semitonia ascendens extendisti ad lin. 19, habes OK, et in lin. 20 O′K′, itaque semper quidquid sonat diapason acutius, distinguitur accentu acuto (ὀξεῖα π.) ἐπὶ τὴν ὀξύτητα. 7 ὀξείας sc. προσῳδίας ′, quae adhibentur ad acutissimum quemque sonum notandum inde ab O′K′ = h′ = *si*$_3$ *naturel*. 10 ἄνω, κάτω. parcentes nos spatio ponimus in una linea. cf. p. 293. 352.

φθόγγοις βαρυτάτην δύναμιν σημαίνων ἔχει σημεῖα τὸ ἡμίφι πλάγιον ⊐ καὶ ἡμίφι ἀπεστραμμένον σ.

ὁ δὲ δεύτερος στίχος τῷ ἡμιτονίῳ (p. 24) τοῦ πρώτου φθόγγου ὀξύτερος ἔχει σημεῖον πλάγιον ϒ ἀπεστραμμένον καὶ ϒ πλάγιον ⟨⊐ ⊏⟩. τούτοις δὲ ὁμότονα, τουτέστι τὴν αὐτὴν δύναμιν ἐν τοῖς φθόγγοις σημαίνοντα, ἐστὶ ϒ πλάγιον ἀπεστραμμένον καὶ ταῦ ὀρθόν ⊣ ϒ.

ὁ δὲ τρίτος στίχος, κατὰ τὸν λόγον τῶν ἐφεξῆς στίχων ἡμιτονίῳ ὀξύτερος τοῦ δευτέρου, σημεῖον ἔχει σίγμα διπλοῦν ἀπεστραμμένον καὶ σίγμα διπλοῦν ϶Ɛ.

ὁ δὲ τέταρτος στίχος ἔχει ῥῶ ἀπεστραμμένον καὶ τὸ ω· ԁ Ѡ. τούτοις δὲ ὁμότονά ἐστιν ἐν τῷ τετάρτῳ στίχῳ πῖ ἀνεστραμμένον καὶ σ διπλοῦν ἀπεστραμμένον Ш ϶.

ὁ δὲ πέμπτος ὁμοίως ὀξύτερος ὢν τοῦ τετάρτου τῷ ἡμιτονίῳ — πάντες γὰρ οἱ ἐφεξῆς ἡμιτονίῳ ἀλλήλων διαφέρουσιν — ἔχει σημεῖα ου κάτω γραμμὴν ἔχον καὶ η ϘH.

---

1 βαρυτάτην ego coll. lin. 6, βαρῦ V, βαρυτα′ N, βαρύτητος Meib. ante ἐν τοῖς puto excidisse τήν. 2 πλάγιον $\frac{\sigma}{\rho}$ et om. signum post ἀπεστραμμένον VN. 3 τὸ] τῷ V. ἡμιτονίῳ] ημιτονίου VN. 4 φθόγγον ὀξύτερον ἑ. V, φθόγγον ἔχει ὀξύτερον N et add. ἔχει N². ϒ N, item altero loco, ɣ (ut sit fere gamma minus quod nos scribere solemus) utroque loco V. 5 ⊣ ⊐ N, ΥΛ V, emendat Bell. Tonleit. p. 58. 7 ταῦ πλ. N. 10 ὀξυτέρους VN. διυτέρου σημείου in ras. N. ἔχει add. V². 12 ῥῶ] ρ ω ν V, ρ ω ν N. 13 ԁ supra, Ѡ infra VN. 15 Ш supra, ϶ infra, sim. lin. 19 VN. 16 τετάρτου] μεγάλου V. 19 ἔχων N.

C. 22. ⊐ ⊏ haec signa ab Alypio aliena habet etiam Aristides Qu. qui p. 27. 28 plura signa sonorum gravissimorum conscribit. nec abhorret illud ⊐ a signorum serie quam notavi p. 356 infra.

ὁ δὲ ἕκτος στίχος ἐχει Ξ *διπλοῦν ἀπεστραμμένον καὶ πῖ διπλοῦν ἀνεστραμμένον* ⋈⋈ *τούτοις δὲ δμότονα ἀντίνυ καὶ πῖ διπλοῦν* ⋈⋈.

23. *Ὑπολυδίου τρόπου σημεῖα κατὰ τὸ διάτονον γένος.*

Προσλαμβανόμενος ου *κάτω γραμμὴν ἔχον καὶ ἦτα*	Ϙ H	5
Ὑπάτη ὑπάτων μῦ ἀνεστραμμένον καὶ ἦτα ἐλλιπές	W Ꮒ	
Παρυπάτη ὑπάτων ἄλφα ἀνεστραμμένον (p. 25) *καὶ ἦτα ἐλλιπὲς ὕπτιον*	V ⊐	
Ὑπάτων διάτονος ζῆτα ἐλλιπὲς καὶ ταῦ πλάγιον	Ζ ⊢	
Ὑπάτη μέσων γάμμα ἀπεστραμμένον καὶ γάμμα ὀρθόν	⅂ Γ	10
Παρυπάτη μέσων βῆτα ἐλλιπὲς καὶ γάμμα ἀνεστραμμένον	R L	
Μέσων διάτονος φῖ καὶ δίγαμμα	Φ F	
Μέση σίγμα καὶ σίγμα	C C	15
Τρίτη συνημμένων ῥῶ καὶ σίγμα ἀνεστραμμένον	P ↄ	
Συνημμένων διάτονος μῦ καὶ πῖ καθειλκυσμένον	M ⅂	
Νήτη συνημμένων ἰῶτα καὶ λάμβδα πλάγιον	I <	
Παράμεσος ου *καὶ κάππα*	O K	
Τρίτη διεζευγμένων ξῖ καὶ κ *ἀνεστραμμένον*	Ξ ⋊	20
Διεζευγμένων διάτονος ἰῶτα καὶ λάμβδα πλάγιον	I <	
Νήτη διεζευγμένων ζῆτα καὶ πῖ πλάγιον	Z ⊏	

2 ⋈ infra, ⋈ supra V N (perverse). 4 *Ὑπολυδίου κτλ.* Meib., om. libri titulum. 5 *ἔχων* V. Nota iuxta notam posita in sonis 1—4, 6—7, supra et infra 5. 8—10. 12—18. 5 notas om. N. 6 ⊓ (i. e. *μ* inv.) ⊓ V N. 8 *α* min V N. 9 *Ζ*] *ζ* V N. 17 pro M litt. min. *μ* V N. 18 *λ. πλάγιον* Λ (altera linea *καθειλκυσμένη*) V, V N. 20 Ξκ V, κΕ⋊ N. 21 IΛ V, I≺ N. 22 ⊏] ⊐ V N.

3 Ceteri huius tabulae versus (*στίχοι*) perierunt. periisse etiam videtur tabula toni lydii; sequitur enim ultimum hoc caput ordinem Alypi, unde petitum esse apparet.

Τρίτη ὑπερβολαίων ει τετράγωνον καὶ π ἀνεστραμμένον Ε ⊔

Ὑπερβολαίων διάτονος ω τετράγωνον ὕπτιον καὶ ζῆτα ⊔ Z

Νήτη ὑπερβολαίων φῖ πλάγιον καὶ ἦτα ἀμελητικόν ⋔ ⋋

Ὑπερλυδίου τρόπου σημεῖα κατὰ τὸ διάτονον γένος.

Προσλαμβανόμενος φῖ καὶ δίγαμμα Φ F

ὑπάτη ὑπάτων σίγμα καὶ σίγμα C C

παρυπάτη ὑπάτων ῥῶ καὶ σίγμα ἀνεστραμμένον P ↄ

ὑπάτων διάτονος μῦ καὶ πῖ καθειλκυσμένον M ⊓

ὑπάτη μέσων ἰῶτα καὶ λάμβδα πλάγιον ι ≺

παρυπάτη μέσων θῆτα καὶ λάμβδα ἀνεστραμμένον Θ V

μέσων διάτονος γάμμα καὶ νῦ Γ N

μέση ω τετράγωνον ὕπτιον καὶ ζῆτα ⊔ Z

τρίτη συνημμένων ψῖ κάτω νεῦον καὶ ἡμίαλφα δεξιόν ⋔ ⊦

συνημμένων διάτονος ταῦ ἀνεστραμμένον καὶ ἡμίαλφα δεξιὸν ἄνω νεῦον ⊥ ⊬

νήτη συνημμένων μῦ καὶ πῖ καθειλκυσμένον, ἐπὶ τὴν ὀξύτητα Μ′ ⊓′

παράμεσος φῖ πλάγιον καὶ ἦτα ἀμελητικὸν καθειλκυσμένον ⋔ ⋋

τρίτη διεζευγμένων υ κάτω νεῦον καὶ ἡμίαλφα ἀριστερὸν ἄνω νεῦον ⊥ ⊬

---

2 Ǝ V, Ǝ N. 4 pro ⊔ habent W VN. 5 pro ⋋ habent H VN. 6 *Ὑπερλυδίου* Meib., *ὑπολυδίου* libri. 7 ΦΓ Γ N. 10 signa om. V, nec habet ullum notae signum in iis quae sequuntur. M] μ N. 12 O⊦ N. 15 *ἡμίαλμα* N. ⋔⊬ N, v. proleg. Alypi. 18 ⊥⊬ N. 20 μ ⊓ N, om. accentus, item in sqq. 21 *καθειλκυσμένον* om. N. 24 ⊥⊬] ΛV N.

---

20 *ἐπὶ τὴν ὀξύτητα* signum acuminis additur. cf. p. 350, 5.

(p. 27) διεζευγμένων διάτονος μῦ καὶ πῖ καθειλκυσμένον, ἐπὶ τὴν ὀξύτητα Μ′Π′
νήτη διεζευγμένων ἰῶτα καὶ λάμβδα πλάγιον, ἐπὶ τὴν ὀξύτητα Ι′<′
τρίτη ὑπερβολαίων θῆτα καὶ λάμβδα ἀνεστραμμένον, ἐπὶ τὴν ὀξύτητα Θ′V′
ὑπερβολαίων διάτονος γάμμα καὶ νῦ, ἐπὶ τὴν ὀξύτητα Γ′Ν′
νήτη ὑπερβολαίων ω τετράγωνον καὶ ζ, ἐπὶ τὴν ὀξύτητα Ա′Ζ′

Αἰολίον τρόπου σημεῖα κατὰ τὸ διάτονον γένος.

Προσλαμβανόμενος ἦτα ἐλλιπὲς ἀπεστραμμένον καὶ ει τετράγωνον ἀπεστραμμένον
ὑπάτη ὑπάτων δέλτα ἀνεστραμμένον καὶ ταῦ πλάγιον ἀνεστραμμένον
παρυπάτη ὑπάτων γάμμα ἀπεστραμμένον καὶ γάμμα ὀρθόν
ὑπάτων διάτονος χῖ καὶ ἡμίμυ δεξιόν
ὑπάτη μέσων ταῦ καὶ δίγαμμα ἀπεστραμμένον
παρυπάτη μέσων σίγμα καὶ σίγμα
(p. 28) μέσων διάτονος ου καὶ κάππα
μέση κάππα καὶ ἡμίδελτα καθειλκυσμένον
τρίτη συνημμένων ἰῶτα καὶ λάμβδα πλάγιον
συνημμένων διάτονος ξῆτα καὶ πῖ πλάγιον
νήτη συνημμένων ἄλφα καὶ βαρεῖα
παράμεσος ἦτα καὶ λάμβδα πλάγιον ἀπεστραμμένον

---

1 διάτονοι N. notae ut 353, 20. 3 λάβδα N, item l. 5. 4 <] γ N. 13 nunc et N signa om. 23 λάβδα N, item l. 26. 25 συνημένων V.

τρίτη διεζευγμένων ξῆτα καὶ πῖ πλάγιον
διεζευγμένων διάτονος ἄλφα καὶ βαρεῖα
νήτη διεζευγμένων χῖ διεφθορὸς καὶ ἡμίαλφα κάτω νεῦον
τρίτη ὑπερβολαίων φῖ πλάγιον καὶ ἦτα ἀμελητικὸν
καθειλκυσμένον
ὑπερβολαίων διάτονος ου καὶ κ, ἐπὶ τὴν ὀξύτητα
νήτη ὑπερβολαίων κάππα καὶ ἡμίδελτα καθειλκυσμένον,
ἐπὶ τὴν ὀξύτητα.

Ὑποαιολίου τρόπου σημεῖα κατὰ τὸ διάτονον γένος.

Προσλαμβανόμενος πῖ ἀνεστραμμένον καὶ διπλοῦν σίγμα
ἀπεστραμμένον
(p. 29) ὑπάτη ὑπάτων ἀντίνυ καὶ πῖ διπλοῦν
παρυπάτη ὑπάτων μῦ ἀνεστραμμένον καὶ ἦτα ἐλλιπὲς
ὑπάτων διάτονος ἦτα ἐλλιπὲς ἀπεστραμμένον καὶ ει
τετράγωνον ἀπεστραμμένον
ὑπάτη μέσων δέλτα ἀνεστραμμένον καὶ ταῦ πλάγιον
ἀπεστραμμένον.

1 διεφθορός ult. syl. V² in ras. 7—8 om. N. 17 ἀνεστραμμένον N.

Signorum musicorum ordines sex auctore Gaudentio c. 22.



Signa canentium	ↄ	ↄ	⊣	∃	d	Ш	♀	₩	И
orta ex litteris	Φ	Υ	Τ	C	Ρ	Π	Ο	Ξ	Ν
notant sonos	F			G			A.		

VIII.

ALYPI ISAGOGE.

Alypi contextum notarum signis destitutum primus edidit Meursius una cum Aristoxeno et Nicomacho Lugd. Bat. 1616. notarum tabulas Ath. Kircher imprimendas curavit duobus usus codicibus Romanis[1] in Musurgia universali, Romae 1650. hos secutus est 1652 Meibomius.[2] ad intellegenda tamen haec systemata et notas signis recentibus recte transscribendas plurimum contulerunt C. Fortlage et, qui de omnibus huius disciplinae partibus cognoscendis egregie meritus est, Frid. Bellermann.[3] ex horum enim libris eodem tempore scriptis apparuit, quicunque simplicibus veterum signis respondere vellet simplices notas hodiernas, ei tribuendum esse mesae toni hypolydii sonum la_2 = a.

Antiquiora autem esse signa quae instrumentorum fuisse dicantur ex ipsa eorum forma elucet. et omissis illis signis, quae aliunde ducta et analogia quadam formata videntur, habemus vetustissima signa haec:

A H c d e f g a h c′ d′ e′ f′.

1 Codicum alter fuisse dicitur in Vaticano, alter in collegio Romano. formas notarum his simillimas invenio in cod. Lips.

2 Usus est Meibomius codd. Scaligerano et duobus Oxoniensibus. partes etiam adhibuit e Barberino quodam et Seldeniano.

3 Bellermann, *Die Tonleitern u. Musiknoten der Griechen.* Berolini Förstner 1847. p. 40. Fortlage, *Das mus. System der Griechen in seiner Urgestalt aus den Tonleitern des Alypius entwickelt.* Breitkopf u. Härtel 1847. p. 38. hos sequitur Gevaert, Histoire et théorie de la mus. (Gand 1875) I 396.

quae formae unde deductae sint, frustra quaesitum est. formis Γ Ε Η qui fidem habebit, inde a ⊐ (ex Α) alphabeti litteras dicet adhibitas esse, et acutiorum sonorum notas forsitan ita interpreteris, ut < ⊏ Ν factas putes e Λ Μ Ν[1], aut ut C Κ ⊓ compares cum C Ρ Π.[2] sed unde factum esse existimabimus, ut septem illi soni, quibus Graeci et canentes et psallentes maxime utebantur (a Γ ad >), non una litterarum serie signarentur? cur duos ordines composuerunt, quorum alter sonos communes in gravitatem versus, alter in acumen versus superaret? quod cum ita constet, haud scio an maxime commendetur id, quod Hugo Riemann invenit[3], lyrae heptachordae sonos signatos esse primis litteris Chaldaeorum, ut < ductum sit ex illorum alpha, ⊓ et ⊐ et ⊱ ex illorum gimel he vav. — haec autem signa, undecumque venerant, versata esse et circumacta videmus, ut singulis tonorum intervallis (ut inter *do* et *re*, inter *c* et *d*) suppeterent ternae eiusdem litterae formae significaretque nota simplex (ut C) simplicem et principem sonum, quales albis clavibus pulsamus in cembalis nostris, — paululum conversa ∪ indicaret parvum quendam intentionis gradum, plane inversa ∩ imperaret intentionis gradum maiorem (similiter ac ♯ et ×). nec tamen

1 Quod ego commendavi apud Baumeister, *Denkmäler d. kl. Altert.* (Monachi 1885—1888.) II 981. de gravioribus sonis Γ ΕΗ idem ego inveni et ibi docui, quod probat Riemann p. 10.

2 Hoc demonstrat H. Riemann, *Studien zur Geschichte der Notenschrift.* (Breitkopf u. Härtel 1878.) p. 10.

3 Riemann ib. p. 12. addere potuit Γ non nimis discrepare a *sajin* forma ⊥. vide apud Baumeister „*Alphabet*“ I p. 52, lin. 7.

certus intentionis gradus conversis ita signis indicabatur, immo parypatas trium generum illi uno eodemque signo notabant; lichanis duo erant signa, alterum in diatono, alterum in chromate et enarmonio.[1] unde clare elucet non quanta essent intervalla eos his litteris designare voluisse, sed aliud aliquid spectasse. nihil enim illi antiquius habuerunt, quam ut minora troporum intervalla clare monstrarent signisque inter se propinquissimis describerent; sicuti in Alypi tabulis diatonis ubi hypolydium tonum adspicis (qui est omnium simplicissimus), non diversis vides sed propinquis formis semitonia notata esse: ⊢ ⊥ = H c = si_1 do_2, et ⌜ ⌞ = e f = mi_2 fa_2. chromaticum autem et enarmonium genus missa generum dissimilitudine ita notare studuerunt, ut spissae regionis (τοῦ πυκνοῦ) ternos sonos ternis eiusdem litterae formis signarent: ⊢ ⊥ ⊓, C ᑐ ᑐ. hoc iis bene contigit in tono dorio phrygio lydio, etiam hypodorio hyprophrygio hypolydio (ubi barypycnus sonus respondet cembalorum clavi albae). in aeolio autem et ionio tono, item in hypoaeolio et hyperaeolio ratio illa observari minime potuit (ubi barypycnus refertur ad clavem nigram), unde intellegimus hos tonos esse recentiores.

Aetate autem posteriore, cum receptis ΧΨΩ litteris viginti quattuor scriberentur litterae Graecae, vetustis illis notis substitutus est novus litterarum ordo[2], ut

1 Lineolas quidem aliquas additas vides chromatici generis lichanis et paranetis in tropo lydio (p. 23 M), in reliquis tamen tropis hoc quoque discrimen omittitur.

2 Aetate potius, non usu canentium aut psallentium, differre duo notarum systemata, quod iam diu ego statui (Baumeister II 980), nunc apparet ex fragmentis C — F quae

inde a sono \, qui fuisse videtur in citharis acutissimus (*fis'* vel fa_3 ♯), ponerentur litterae *A* — Ω usque ad Ϝ, qui sonus fortasse erat communium gravissimus (*f* = fa_2). nec tamen aliam intervallorum rationem secuti sunt, qui novis litterarum formis utebantur; semitoniorum vel diesium gradus diversos ne hi quidem diligenter respexerunt, sed ternas litteras (*A* — *Γ*, *Δ* — *Z* cet.) singulis toni intervallis ipsi quoque tribuerunt. mansit igitur eadem ratio scribendi et in his quae dicuntur canentium notis, mansitque eadem discrepantia veterum troporum et recentium.

Harmonias illas veteres *δωριστί*, *λυδιστί* reliquas invenis in Alypi tabulis, ubi sumis uniuscuiusque tropi partem inde a *f* usque ad *f''* (fa_2—fa_3):

tonus	lydius	f	g	a	b	c'	d'	e'	f'	1 b
„	phrygius	f	g	as	b	c'	d'	es'	f'	3 b
„	dorius	f	ges	as	b	c'	des'	es'	f'.	5 b

hoc igitur princeps illius temporis diapason fuisse putandum est, quod commodissime omnes canerent.[1] est autem cur mireris, quod non sit pars e — e' (ut in octachorda lyra ab hypate meson ad neten diezeugmenon), sed intenta omnia videantur et semitonio acutiora. neque enim ullo modo dubitari potest, quin ab

---

Athenis inventa Parisiis publicaverunt Weil et Reinach. Bulletin de corresp. hell. XVII (1893) p. 606 ss. scripti enim ibi sunt canentium soni signis quae falso dicuntur esse instrumentorum. de duobus tibiae signis apud Euripidem parum constat.

1 F. Bellermann Anon. p. 9. id. *Tonleitern* p. 13. Fortlage 73. Gevaert Histoire I 218.

initio omnes illae harmoniae ad lyram octachordam revocatae hos sonos continuerint[1]:

tonus	lydius	e		fis		gis	a	h	cis′	dis′ e′
„	phrygius	e		fis	g		a	h	cis′	d′ e′
„	dorius	e	f		g		a	h c′		d′ e′.

nec minus puto illud miraberis, quod tonus dorius apud Alypium non e simplicibus vel primariis sonis (quae sunt cembalorum claves albae) consistat, sed magnam partem e sonis in grave remissis (5 b). harum rerum quae sint causae et rationes, nemo veterum scriptorum dicit, sed vide sintne hae.

Citharae addidisse sonum acutiorem, hyperbolaeum, dicitur Timotheus in Censorini fragm. 12.[2] ab eius igitur aetate systema, quod Bacchius § 74 dicit finitum esse neta diezeugmenon (e′ = mi_3), auctum est in acumen versus. et lydiae quidem harmoniae antea constitui in citharis non potuerant nisi magno chordarum numero ad acumen intenso[3]:

---

1 Jan de Platonis harmoniis in *Neue Jahrbücher für Philol.* 95 (1867) 822. Haskins Eyles Stiles in *Philosophical Transactions* 51 II 695. Burney *History of music.* I p. 48. Jan ad Bacchium 1891 p. 12b.

2 Hunc numerum (synemmenon) auxisse Terpandrum adiectione diezeugmenu (nervi vel soni), qui primus a gravibus in acumen avertitur. deinde Timotheus addidit duos, paramesen et hyperbolaeon. Censorinus de die natali p. 91 J. cf. Pherecratis fragm. apud Plutarchum mus. 30: (*Τιμόθεος*) *ἅπαντας παρελήλυθ' ᾠδὼν ἑκτραπέλους μυρμηκιὰς ἐξαρμονίους ὑπερβολαίους τ' ἀνοσίους καὶ νιγλάρους . . . χόρδαις δώδεκα.* undecim autem nervis tribusque tetrachordis usus est Ion Chius (v. Cleonidem 12).

3 Omnes tonos ad hoc e-é diapason reductos vides in annal. lycei Argent. 1891 p. 13 et 15.

tonus lydius e fis gisa h cis′ dis′e′ 4♯
„ hypolydius e fis gis aish cis′ dis′e′ 5♯
„ mixolydius eisfis gis aish cis′ dis′ eis′ 6♯

iam autem addito nervo acuto (trita hyperbolaeon f′ = fa_3) non opus erat mutare multas chordas; facile enim sonabant[1]:

tono lydio f g ab c′ d′ e′f′ 1b
„ hypolydio f g a hc′ d′ e′f′ —
„ mixolydio fisg a hc′ d′ e′ fis′ 1♯.

Hoc nervo addito unaquaeque harmonia (doristi, phrygisti) duobus modis sonari potuit et erant binae semper harmoniae in enneachordo coniunctae:

dorius t. ef g a hc′ d′ e′
hypolydius f g a hc′ d′ e′f′
ionius t. e fis gisa h cis′d′ e′
aeolius fis gisa h cis′d′ e′ fis′.

inde citharoedi iastiaeoliis illis utebantur, quae hypophrygio tropo (= 3♯) cantata esse Ptolemaeus[2] testatur (harm. II 16). sed iam antiquis puto temporibus dorii toni sanctitate neglecta fidicines et nomorum cantores, qui lydios modos et acutissimos sonos semper praetulisse narrantur[3], maluerunt uti modis acutioribus, ut singulos tropos non graviore(e—e′) sed acutiore modo

1 Fortlage quoque, quo melius interpretaretur notarum ordinem et rationem, confugit ad enneachordum sonorum e-f′ p. 4. 58. Bellermann *Tonl.* p. 47 ex Asia venisse putat hunc tonorum ordinem, et venerunt inde harmoniae lydiae.

2 Etiam tritae toni hypodorii et parypatae dorii quid sint (ap. Ptol. ib.) e tali enneachordo apertum fit. Jan in Philol. Anzeiger (Gottingae 1873) IX 310.

3 *Ὁ νόμος (ἁρμόζεται) τῷ συστήματι τῷ τῶν κιθαρῳδῶν λυδίῳ.* Proclus apud Phot. bibl. 209. — *ὁ δὲ ὄρθιος αὐλητικὸς νόμος, οὕτω καλούμενος διὰ τὸ εἶναι εὔτονος καὶ ἀνάτασιν*

(f — f′) canerent. mutato autem usu mutari et nomina oportuit. quod si nemo vetere illo lydio modo utebatur, quem quattuor nervis intensis veteres ab hypata meson ad neten diezeugmenon (e — e′) temperaverant, si recentiorem omnes modum amplexi lydiam phrygiam alias harmonias canere solebant sumpto ordine a parypate meson ad triten hyperbolaeon (f — f′): primariam et simplicem enneachordi tensionem (e — f′ nullo nervo intenso) iam non dicebant doriam, quia neglegebant seriem e — e′, sed hypolydiam (curantes modo seriem f — f′), itaque factum est ut, quod antea fuisset dorium, tum diceretur hypolydium. superatum autem fuisse antiquum systema (e — e′) recentiore (f — f′) iam illis temporibus, cum veteribus signis C ↄ Ↄ substituerentur novae litterae *A* — Ω, inde concludo, quod qui novas litteras adhibuerunt, initium signandi *A* fecerunt a trita hyperbolaeon (fis′), hypaten autem veterem (e) primario signo notare noluerunt.

